UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Kirchengeschichte

### Eusebius <Caesariensis>

### Leipzig, 1908

Θ

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2093

Visual Library

## Θ

*Τάδε καὶ ἡ ἐνάτη περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας*


Α Περὶ τῆς ἐπιπλάστου ἀνέσεως.
Β Περὶ τῆς μετέπειτα διαστροφῆς.
Γ Περὶ τοῦ κατὰ Ἀντιόχειαν νεοπαγοῦς ξοάνου.
Δ Περὶ τῶν καθ᾽ ἡμῶν ψηφισμάτων.
Ε Περὶ τῶν ἐπιπλάστων ὑπομνημάτων.
ς Περὶ τῶν ἐν τῷδε τῷ χρόνῳ μεμαρτυρηκότων.
Ζ Περὶ τῆς καθ᾽ ἡμῶν ἐν στήλαις ἀνατεθείσης γραφῆς.
Η Περὶ τῶν μετὰ ταῦτα συμβεβηκότων ἐν λιμῷ καὶ λοιμῷ καὶ πολέμοις.
Θ Περὶ τῆς τῶν τυράννων καταστροφῆς τοῦ βίου, καὶ οἵαις ἐχρήσαντο πρὸ τῆς τελευτῆς φωναῖς.
[Ι Περὶ τῆς τῶν θεοφιλῶν βασιλέων νίκης]
Ι[Α] Περὶ τῆς ὑστάτης ἀπωλείας τῶν τῆς θεοσεβείας ἐχθρῶν.


**14** der Titel ist, wie die falsche Stellung zeigt, ein Rest aus der früheren Ausgabe

802 *Τὰ μὲν δὴ τῆς παλινῳδίας τοῦ προτεθέντος βασιλικοῦ νεύματος* Ā 1 1
*ἥπλωτο τῆς Ἀσίας πάντῃ καὶ πανταχοῦ κατά τε τὰς ἀμφὶ ταύτην*
*ἐπαρχίας· ὧν τοῦτον ἐπιτελεσθέντων τὸν τρόπον Μαξιμῖνος, ὁ ἐπ'*
*ἀνατολῆς τύραννος, δυσσεβέστατος εἰ καί τις ἄλλος, καὶ τῆς εἰς τὸν*
*τῶν ὅλων θεὸν εὐσεβείας πολεμιώτατος γεγονώς, οὐδαμῶς τοῖς*
*γραφεῖσιν ἀρεσθείς, ἀντὶ τοῦ προτεθέντος γράμματος λόγῳ προσ-*
*τάττει τοῖς ὑπ' αὐτὸν ἄρχουσιν τὸν καθ' ἡμῶν ἀνεῖναι πόλε-*
*μον. ἐπεὶ γὰρ αὐτῷ μὴ ἐξῆν ἄλλως τῇ τῶν κρειττόνων ἀντιλέ-*
*γειν κρίσει, τὸν προεκτεθέντα νόμον ἐν παραβύστῳ θεὶς καὶ ὅπως*
*ἐν τοῖς ὑπ' αὐτὸν μέρεσιν μὴ εἰς προῦπτον ἀχθείη, φροντίσας,*
*ἀγράφῳ προστάγματι τοῖς ὑπ' αὐτὸν ἄρχουσιν τὸν καθ' ἡμῶν*
*διωγμὸν ἀνεῖναι προστάττει· οἳ δὲ τὰ τῆς παρακελεύσεως ἀλλήλοις*
*διὰ γραφῆς ὑποσημαίνουσιν. ὁ γοῦν παρ' αὐτοῖς τῷ τῶν ἐξοχωτά-* 2
*των ἐπάρχων ἀξιώματι τετιμημένος Σαβῖνος πρὸς τοὺς κατ' ἔθνος*
*ἡγουμένους τὴν βασιλέως ἐμφαίνει γνώμην διὰ Ῥωμαϊκῆς ἐπιστο-*
*λῆς· οἳ δὲ τὴν τῶν γραφέντων αὐτοῖς ἐπαληθεύειν προαίρεσιν* 7

**16** Für *οἳ δὲ* schalten ATER aus der früheren Ausgabe ein: *ἧς καὶ αὐτῆς ἡ ἑρμηνεία τοῦτον περιέχει τὸν τρόπον*

*›Λιπαρωτάτῃ καὶ καθωσιωμένῃ σπουδῇ ἡ θειότης τῶν δεσποτῶν ἡμῶν θειο-* 3
*›τάτων αὐτοκρατόρων πάντων τῶν ἀνθρώπων τὰς διανοίας πρὸς τὴν ὁσίαν καὶ*
*›ὀρθὴν τοῦ ζῆν ὁδὸν περιαγαγεῖν ἔτι πάλαι ὥρισεν, ὅπως καὶ οἱ ἀλλοτρίᾳ Ῥω-*
*›μαίων συνηθείᾳ ἀκολουθεῖν δοκοῦντες τὰς ὀφειλομένας θρῃσκείας τοῖς ἀθανάτοις*
*›θεοῖς ἐπιτελοῖεν· ἀλλ' ἡ τινῶν ἔνστασις καὶ τραχυτάτη βουλὴ εἰς τοσοῦτον περιέ-* 4
*›στη ὡς μήτε λογισμῷ δικαίῳ τῆς κελεύσεως δύνασθαι ἐκ τῆς ἰδίας προθέσεως*

ATERBDMΣΛ

**6—8** *ἀντὶ — πόλεμον* Doublette zu 11/12 *ἀγράφωι — προστάττει* vgl. zu 776, 4—9 | **14** *ἐπάρχων* ATER *ὑπάρχων* BM > D

**24** *ὡσ* A > T¹ER *ὥστε* Tr

804 νενομικότες, λογισταῖς καὶ στρατηγοῖς καὶ τοῖς κατ᾽ ἀγροὺς ἐπιτε-
ταγμένοις τὴν βασιλικὴν διὰ γραμμάτων ἐμφανῆ καθιστῶσι γνώμην·
οὐ μόνον δ᾽ αὐτοῖς διὰ γραφῆς ταῦτα προυχώρει, καὶ ἔργοις δὲ
πολὺ πρότερον, ὡς ἂν νεῦμα βασιλικὸν εἰς πέρας ἄγοντες, ὅσους
εἶχον δεσμωτηρίοις καθειργμένους διὰ τὴν εἰς τὸ θεῖον ὁμολογίαν,
εἰς φανερὸν προάγοντες ἠλευθέρουν, ἀνιέντες τούτων δὴ αὐτῶν
τοὺς ἐν μετάλλοις ἐπὶ τιμωρίᾳ δεδομένους· τοῦτο γὰρ ἐπ᾽ ἀληθείας
βασιλεῖ δοκεῖν ὑπειλήφασιν ἠπατημένοι. καὶ δὴ τούτων οὕτως 8
ἐπιτελεσθέντων, ἀθρόως οἷόν τι φῶς ἐκ ζοφερᾶς νυκτὸς ἐκλάμψαν,
κατὰ πᾶσαν πόλιν συγκροτουμένας παρῆν ὁρᾶν ἐκκλησίας συνόδους
τε παμπληθεῖς καὶ τὰς ἐπὶ τούτων ἐξ ἔθους ἐπιτελουμένας ἀγωγάς·
καταπέπληκτο δ᾽ οὐ σμικρῶς ἐπὶ τούτοις πᾶς τις τῶν ἀπίστων

»ἀναχωρεῖν μήτε τὴν ἐπικειμένην τιμωρίαν αὐτοὺς ἐκφοβεῖν. ἐπειδὴ τοίνυν συνέ- 5
»βαινεν ἐκ τοῦ τοιούτου τρόπου πολλοὺς εἰς κίνδυνον ἑαυτοὺς περιβάλλειν, κατὰ
»τὴν προσοῦσαν εὐγένειαν τῆς εὐσεβείας ἡ θειότης τῶν δεσποτῶν ἡμῶν τῶν δυνα-
»τωτάτων αὐτοκρατόρων ἀλλότριον εἶναι τῆς προθέσεως τῆς θειοτάτης τῆς ἰδίας
»δοκιμάζουσα τὸ ἐκ τῆς τοιαύτης αἰτίας εἰς τοσοῦτον κίνδυνον τοὺς ἀνθρώπους
»περιβάλλειν, ἐκέλευσεν διὰ τῆς ἐμῆς καθοσιώσεως τῇ σῇ ἀγχινοίᾳ διαχαράξαι ἵν᾽
»εἴ τις τῶν Χριστιανῶν τοῦ ἰδίου ἔθνους τὴν θρησκείαν μετιὼν εὑρεθείη, τῆς κατ᾽
»αὐτοῦ ἐνοχλήσεως καὶ τοῦ κινδύνου αὐτὸν ἀποστήσειας καὶ μή τινα ἐκ ταύτης
»τῆς προφάσεως τιμωρίᾳ κολαστέον νομίσειας, ὁπότε τῇ τοῦ τοσούτου χρόνου
»συνελεύσει συνέστη αὐτοὺς μηδενὶ τρόπῳ πεπεῖσθαι δεδυνῆσθαι ὅπως ἀπὸ τῶν
»τοιούτων ἐνστάσεων ἀναχωρήσαιεν. γράψαι τοιγαροῦν πρὸς τοὺς λογιστὰς καὶ 6
»τοὺς στρατηγοὺς καὶ τοὺς πραιποσίτους τοῦ πάγου ἑκάστης πόλεως ἡ σὴ ἐπι-
»στρέφεια ὀφείλει ἵνα γνοῖεν περαιτέρω αὐτοῖς τούτου τοῦ γράμματος φροντίδα
»ποιεῖσθαι μὴ προσήκειν«. ἐπὶ τούτοις οἱ κατ᾽ ἐπαρχίαν

**9** II Kor. 4, 6

ATERBDMΣΛ

**1** νενομικότεσ ATER νομίσαντεσ BDM | **4** ὅσουσ BDMΣΛ οὓσ ATER | **5** δεσμωτηρίοισ BDM ἐν δεσμωτηρίοισ ATER | καθειργμένουσ RBDM καθειργνυμένουσ ATE | **6** τούτων AT[1]EBDM καὶ τούτων T[r]R, τούτων δὴ αὐτῶν unverständlich, auch der Anschluss von ἀνιέντες τοὺς—δεδομένους durch das Participium ist inconcinn, vgl. zu 776, 4—9 | **7** δεδεμένουσ T[1], durch Rasur corr. δεδωμένουσ BD | **7/8** τοῦτο—ἠπατημένοι Doublette zu 802, 16—804, 1 τὴν—νενομικότες | **11** ἀγωγὰσ TERBDΣ συναγωγὰσ AM | **12** οὐ μικρῶσ ἐπὶ τούτοισ BDM ἐπὶ τούτοισ οὐ σμικρῶσ ATER

**14** περιβάλλειν AT[r] περιβαλεῖν T[1]ER | **23** γράψαι TER ἐγγράψαι A

806 ἐθνῶν, τῆς τοσαύτης μεταβολῆς τὸ παράδοξον ἀποθαυμάζων μέγαν
τε καὶ μόνον ἀληθῆ τὸν Χριστιανῶν θεὸν ἐπιβοώμενος. τῶν δ' 9
ἡμετέρων οἱ μὲν τὸν τῶν διωγμῶν ἀγῶνα πιστῶς καὶ ἀνδρικῶς
διηθληκότες τὴν πρὸς ἅπαντας αὖθις ἀπελάμβανον παρρησίαν, ὅσοι
δὲ τὰ τῆς πίστεως νενοσηκότες τὰς ψυχὰς ἐτύγχανον κεχειμασμένοι,
ἀσμένως περὶ τὴν σφῶν θεραπείαν ἔσπευδον, ἀντιβολοῦντες καὶ
σωτηρίας δεξιὰν τοὺς ἐρρωμένους αἰτούμενοι τόν τε θεὸν ἵλεων
αὐτοῖς γενέσθαι καθικετεύοντες· εἶτα δὲ καὶ οἱ γενναῖοι τῆς θεο- 10
σεβείας ἀθληταὶ τῆς εἰς τὰ μέταλλα κακοπαθείας ἐλευθερούμενοι
ἐπὶ τὰς αὐτῶν ἐστέλλοντο, γαῦροι καὶ φαιδροὶ διὰ πάσης ἰόντες
πόλεως εὐφροσύνης τε ἀλέκτου καὶ ἣν οὐδὲ λόγῳ δυνατὸν ἑρμη-
νεῦσαι παρρησίας ἔμπλεοι. στίφη δ' οὖν πολυάνθρωπα κατὰ 11
μέσας λεωφόρους καὶ ἀγορὰς ᾠδαῖς καὶ ψαλμοῖς τὸν θεὸν ἀνυμνοῦντα
τὰ τῆς πορείας ἤνυεν, καὶ τοὺς μετὰ τιμωρίας ἀπηνεστάτης μικρῷ
πρόσθεν δεσμίους τῶν πατρίδων ἀπεληλαμένους εἶδες ἂν ἱλαροῖς
καὶ γεγηθόσι προσώποις τὰς αὐτῶν ἑστίας ἀπολαμβάνοντας, ὡς καὶ
τοὺς πρότερον καθ' ἡμῶν φονῶντας τὸ θαῦμα παρὰ πᾶσαν ὁρῶντας
ἐλπίδα, συγχαίρειν τοῖς γεγενημένοις.

Ταῦτα δ' οὐκέθ' οἷός τε φέρειν ὁ τύραννος μισόκαλος καὶ πάν- B 2
των ἀγαθῶν ἐπίβουλος ὑπάρχων, ὃν ἔφαμεν τῶν ἐπ' ἀνατολῆς ἄρχειν
μερῶν, οὐδ' ὅλους ἐπὶ μῆνας ἓξ τοῦτον ἐπιτελεῖσθαι τὸν τρόπον
ἠνέσχετο. ὅσα δ' οὖν πρὸς ἀνατροπὴν τῆς εἰρήνης μηχανώμενος
πρῶτον μὲν εἴργειν ἡμᾶς τῆς ἐν τοῖς κοιμητηρίοις συνόδου διὰ προ-
φάσεως πειρᾶται, εἶτα διά τινων πονηρῶν ἀνδρῶν αὐτὸς ἑαυτῷ
καθ' ἡμῶν πρεσβεύεται, τοὺς Ἀντιοχέων πολίτας παρορμήσας ἐπὶ
τὸ μηδαμῶς τινα Χριστιανῶν τὴν αὐτῶν οἰκεῖν ἐπιτρέπεσθαι πα-
808 τρίδα ὡς ἐν μεγίστῃ δωρεᾷ παρ' αὐτοῦ τυχεῖν ἀξιῶσαι, καὶ ἑτέρους
δὲ ταὐτὸν ὑποβαλεῖν διαπράξασθαι· ὧν πάντων ἀρχηγὸς ἐπ' αὐτῆς
Ἀντιοχείας ἐπιφύεται Θεότεκνος, δεινὸς καὶ γόης καὶ πονηρὸς ἀνὴρ

**20/21** 780, 22. 802, 3/4

ATERBDMΣΔ

**3** ἀνδρικῶσ BDMΔ ἀνδρείωσ ATER | **19** φέρειν TER¹BDM ἦν φέρειν A ὢν φέρειν Rc | μισόκαλοσ BDMΣ μισόκαλοσ ἐσ τὰ μάλιστα ATER | **21** ὅλουσ ATrR ὅλοισ T¹ERBDM | **22** ὅσα ohne Responsion | **24/25** steht in sachlichem Widerspruch zu S. 808, 2/3 ὧν . . ἀρχηγὸς . . ἐπιφύεται Θεότεκνος und S. 808, 12—20 | **25** πρεσβεύεται AT¹BDΣ πρεσβευτὰσ TcTrERM

**1/2** καὶ — διαπράξασθαι schlecht redigirte Doublette zu 19/20 καὶ — ὑποβεβληκότων, vgl. zu S. 806, 24/25 | **2** ὑποβαλεῖν ATER ὑποβάλλειν M ὑποβάλλει BD

808 καὶ τῆς προσωνυμίας ἀλλότριος· ἐδόκει δὲ λογιστεύειν τὰ κατὰ τὴν
πόλιν. πλεῖστα δ᾽ οὖν οὗτος καθ᾽ ἡμῶν στρατευσάμενος καὶ πάντα Γ 3
τρόπον τοὺς ἡμετέρους ὥσπερ τινὰς φῶρας ἀνοσίους ἐκ μυχῶν
θηρεῦσαι διὰ σπουδῆς πεποιημένος πάντα τε ἐπὶ διαβολῇ καὶ κατη-
γορίᾳ τῇ καθ᾽ ἡμῶν μεμηχανημένος, καὶ θανάτου δὲ αἴτιος μυρίοις
ὅσοις γεγονώς, τελευτῶν εἴδωλόν τι Διὸς Φιλίου μαγγανείαις τισὶν
καὶ γοητείαις ἱδρύεται, τελετάς τε ἀνάγνους αὐτῷ καὶ μυήσεις ἀκαλ-
λιερήτους ἐξαγίστους τε καθαρμοὺς ἐπινοήσας, μέχρι καὶ βασιλέως
τὴν τερατείαν δι᾽ ὧν ἐδόκει χρησμῶν ἐπεδείκνυτο. καὶ δὴ καὶ
οὗτος κολακείᾳ τῇ καθ᾽ ἡδονὴν τοῦ κρατοῦντος ἐπεγείρει κατὰ
Χριστιανῶν τὸν δαίμονα καὶ τὸν θεὸν δὴ κελεῦσαί φησιν ὑπερορίους
τῆς πόλεως καὶ τῶν ἀμφὶ τὴν πόλιν ἀγρῶν ὡς ἂν ἐχθροὺς αὐτῷ
Χριστιανοὺς ἀπελάσαι. τούτῳ δὲ πρώτῳ κατὰ γνώμην πράξαντι Δ 4 1
πάντες οἱ λοιποὶ τῶν ἐν τέλει τὰς ὑπὸ τὴν αὐτὴν ἀρχὴν πόλεις
οἰκοῦντες τὴν ὁμοίαν ὁρμῶνται ψῆφον ποιήσασθαι, προσφιλὲς εἶναι
τοῦτο βασιλεῖ τῶν κατ᾽ ἐπαρχίαν ἡγεμόνων συνεωρακότων καὶ τοῦτ᾽
αὐτὸ διαπράξασθαι τοῖς ὑπηκόοις ὑποβεβληκότων· ὧν δὴ καὶ αὐ- 2
τῶν τοῖς ψηφίσμασιν δι᾽ ἀντιγραφῆς ἀσμενέστατα ἐπινεύσαντος τοῦ
τυράννου, αὖθις ἐξ ὑπαρχῆς ὁ καθ᾽ ἡμῶν ἀνεφλέγετο διωγμός. ἱε-
ρεῖς δῆτα κατὰ πόλιν τῶν ξοάνων καὶ ἐπὶ τούτοις ἀρχιερεῖς πρὸς
αὐτοῦ Μαξιμίνου οἱ μάλιστα ταῖς πολιτείαις διαπρέψαντες καὶ διὰ
810 πασῶν ἔνδοξοι γενόμενοι καθίσταντο, οἷς καὶ πολλή τις εἰσήγετο
σπουδὴ περὶ τὴν τῶν θεραπευομένων πρὸς αὐτῶν θρησκείαν. ἡ 3
γοῦν ἔκτοπος τοῦ κρατοῦντος δεισιδαιμονία, συνελόντι φάναι, πάν-
τας τοὺς ὑπ᾽ αὐτὸν ἄρχοντάς τε καὶ ἀρχομένους εἰς τὴν αὐτοῦ χάριν
πάντα πράττειν καθ᾽ ἡμῶν ἐνῆγεν, ταύτην αὐτῷ χάριν μεγίστην
ἀνθ᾽ ὧν ἐνόμιζον πρὸς αὐτοῦ τεύξεσθαι εὐεργεσιῶν, ἀντιδωρου-
μένων, τὸ καθ᾽ ἡμῶν φονᾶν καί τινας εἰς ἡμᾶς καινοτέρας κακοη-
θείας ἐνδείκνυσθαι. πλασάμενοι δῆτα Πιλάτου καὶ τοῦ σωτῆρος Ε 5 1
ἡμῶν ὑπομνήματα πάσης ἔμπλεα κατὰ τοῦ Χριστοῦ βλασφημίας,
γνώμῃ τοῦ μείζονος ἐπὶ πᾶσαν διαπέμπονται τὴν ὑπ᾽ αὐτὸν ἀρχὴν
διὰ προγραμμάτων παρακελευόμενοι κατὰ πάντα τόπον, ἀγρούς τε

**22**—S. 810, 2 vgl. 782, 5—12

ATERBDMΣΔ

**8** *δὲ* BD *τε* ATE *γε* M > R | **9** *φιλίου* AT$^1$BDΣΔ *φιδίου* T$^c$E$^1$M *φειδίου* T$^r$E$^r$R | **10** *ἱδρύεται* ATER *ἱδρύει* BDM | **12** *χρησμῶν* BDΔ *χρημῶν* M *χρησμῶν ἐκτελεῖν* ATER weder *δι᾽ ὧν ἐδόκει* noch *ἐκτελεῖν* übersetzt Σ | **13** *ἐπεγείρει* ATER *ἐγείρει* BDM | **16** *ἀπελάσαι* ATER *ἐλάσαι* BDM | **18** *εἶναι* BDMΣ *δ᾽ εἶναι* ATER

**11** *προγραμμάτων* T$^r$ERBDMΔ, T$^c$ unleserlich *γραμμάτων* AT$^1$

810 καὶ πόλεις, ἐν ἐκφανεῖ ταῦτα τοῖς πᾶσιν ἐκθεῖναι τοῖς τε παισὶ τοὺς
γραμματοδιδασκάλους ἀντὶ μαθημάτων ταῦτα μελετᾶν καὶ διὰ μνήμης
κατέχειν παραδιδόναι· ὧν τοῦτον ἐπιτελουμένων τὸν τρόπον, ἕτερος 2
στρατοπεδάρχης, ὃν δοῦκα Ῥωμαῖοι προσαγορεύουσιν, ἀνὰ τὴν Δα-
μασκὸν τῆς Φοινίκης ἐπίρρητά τινα γυναικάρια ἐξ ἀγορᾶς ἀνάρ-
παστα ποιήσας, βασάνους αὐταῖς ἐπιθήσειν ἠπείλει, λέγειν ἐγγράφως
ἐπαναγκάζων, ὡς δὴ εἴησάν ποτε Χριστιαναὶ συνειδεῖέν τε αὐτοῖς
ἀθεμιτουργίας ἐν αὐτοῖς τε τοῖς κυριακοῖς πράττειν αὐτοὺς τὰ ἀκό-
λαστα καὶ ὅσα ἄλλα λέγειν αὐτὰς ἐπὶ διαβολῇ τοῦ δόγματος ἤθελεν·
ὧν καὶ οὗτος ἐν ὑπομνήμασιν τὰς φωνὰς ἐντεθείσας βασιλεῖ κοι-
νοῦται, καὶ δὴ προστάξαντος εἰς πάντα τόπον καὶ πόλιν καὶ ταῦτα
δημοσιοῦται τὰ γράμματα. ἀλλ' ὃ μὲν οὐκ εἰς μακρὸν αὐτόχειρ 6 1
ἑαυτοῦ γεγονὼς ὁ στρατάρχης δίκην τίννυσιν τῆς κακοτροπίας·
ἡμῶν δ' αὖ φυγαὶ πάλιν ἀνεκινοῦντο καὶ διωγμοὶ χαλεποὶ τῶν ς
τε κατὰ πάσας ἐπαρχίας ἡγουμένων αὖθις δειναὶ καθ' ἡμῶν ἐπανα-
στάσεις, ὡς καί τινας ἁλόντας τῶν περὶ τὸν θεῖον λόγον ἐπιφανῶν
ἀπαραίτητον τὴν ἐπὶ θανάτῳ ψῆφον καταδέξασθαι· ὧν τρεῖς ἐν
812 Ἐμίσῃ πόλει τῆς Φοινίκης Χριστιανοὺς σφᾶς ὁμολογήσαντες, θηρίων
βορᾷ παραδίδονται· ἐπίσκοπος ἦν ἐν τούτοις Σιλβανός, τὴν ἡλικίαν
ὑπέργηρως, ἐν ὅλοις ἔτεσιν τεσσαράκοντα τὴν λειτουργίαν διηνυ-
κώς. κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Πέτρος τῶν κατ' Ἀλεξάν- 2
δρειαν παροικιῶν προστὰς ἐπιφανέστατα, θεῖον ἐπισκόπων χρῆμα
βίου τε ἀρετῆς ἕνεκα καὶ τῆς τῶν ἱερῶν λόγων συνασκήσεως, ἐξ
οὐδεμιᾶς ἀνάρπαστος γεγονὼς αἰτίας, μηδεμιᾶς προλαβούσης προσδο-
κίας, ἀθρόως οὕτως καὶ ἀλόγως, ὡς ἂν Μαξιμίνου προστάξαντος,
τὴν κεφαλὴν ἀποτέμνεται, σὺν αὐτῷ δὲ καὶ τῶν κατ' Αἴγυπτον
ἐπισκόπων ἄλλοι πλείους ταὐτὸν ὑπομένουσιν· Λουκιανός τε, ἀνὴρ 3
τὰ πάντα ἄριστος βίῳ τε ἐγκρατεῖ καὶ τοῖς ἱεροῖς μαθήμασιν συγκε-
κροτημένος, τῆς κατὰ Ἀντιόχειαν παροικίας πρεσβύτερος, ἀχθεὶς ἐπὶ
τῆς Νικομηδέων πόλεως, ἔνθα τηνικαῦτα βασιλεὺς διατρίβων ἐτύγ-
χανεν, παρασχὼν τε ἐπὶ τοῦ ἄρχοντος τὴν ὑπὲρ ἧς προΐστατο δι-
δασκαλίας ἀπολογίαν, δεσμωτηρίῳ παραδοθεὶς κτίννυται. τοσαῦτα 4
δῆτα ἐν βραχεῖ τῷ μισοκάλῳ Μαξιμίνῳ καθ' ἡμῶν συνεσκεύαστο,

**28**—S. 812, 4 vgl. 772, 9—12
**4—10** vgl. 772, 24—774, 1 — **10—15** vgl. 772, 2—6

ATERBDMΣΛ

**12/13** *τοῖς τε πᾶσι γραμματοδιδασκάλοισ* Σ
**1** *πόλει* BDM *τῇ πόλει* ATER | *ὁμολογήσαντεσ* TERDM *ὁμολογήσαντασ* AB | **4** *δὲ* ATER *δὴ* BDM | **11** *ἐγκρατεῖ* TERBDMΣ *ἐγκρατὴσ* A

812 ὡς τοῦ προτέρου δοκεῖν πολλῷ χαλεπώτερον τοῦτον ἡμῖν ἐπεγη-
γέρθαι διωγμόν.

Ἀνὰ μέσας γέ τοι τὰς πόλεις, ὃ μηδὲ ἄλλοτέ ποτε, ψηφίσματα Ζ 7 1
πόλεων καθ᾽ ἡμῶν καὶ βασιλικῶν πρὸς ταῦτα διατάξεων ἀντιγρα-
φαὶ στήλαις ἐντετυπωμένα χαλκαῖς ἀνωρθοῦντο, οἵ τε παῖδες ἀνὰ
τὰ διδασκαλεῖα Ἰησοῦν καὶ Πιλάτον καὶ τὰ ἐφ᾽ ὕβρει πλασθέντα
ὑπομνήματα διὰ στόματος κατὰ πᾶσαν ἔφερον ἡμέραν. ἐνταῦθά 2
μοι ἀναγκαῖον εἶναι φαίνεται αὐτὴν δὴ ταύτην τὴν ἐν στήλαις ἀνα-
τεθεῖσαν τοῦ Μαξιμίνου γραφὴν ἐντάξαι, ἵν᾽ ὁμοῦ τῆς τε τοῦ ἀνδρὸς
θεομισείας ἡ ἀλαζὼν καὶ ὑπερήφανος αὐθάδεια φανερὰ καταστ αίη
καὶ τῆς παρὰ πόδας αὐτὸν μετελθούσης ἱερᾶς δίκης ἡ ἄυπνος κατὰ
τῶν ἀσεβῶν μισοπονηρία, πρὸς ἧς ἐλαθεὶς οὐκ εἰς μακρὸν τἀναντία
περὶ ἡμῶν ἐβουλεύσατό τε καὶ δι᾽ ἐγγράφων νόμων ἐδογμάτισεν.

## 814 *ΑΝΤΙΓΡΑΦΟΝ ΕΡΜΗΝΕΙΑΣ ΤΗΣ ΜΑΞΙΜΙΝΟΥ ΠΡΟΣ ΤΑ ΚΑΘ᾽ ΗΜΩΝ ΨΗΦΙΣΜΑΤΑ ΑΝΤΙΓΡΑΦΗΣ ΑΠΟ ΤΗΣ ΕΝ ΤΥΡΩΙ ΣΤΗΛΗΣ ΜΕΤΑΛΗΦΘΕΙΣΗΣ* 3

›Ἤδη ποτὲ ἡ ἀσθενὴς θρασύτης τῆς ἀνθρωπίνης διανοίας ἴσχυσεν
›πᾶσαν πλάνης ἀμαυρότητα καὶ ὁμίχλην ἀποσεισαμένη καὶ ἀνασκε-
›δάσασα, ἥτις πρὸ τούτου οὐ τοσοῦτον τῶν ἀσεβῶν ὅσον τῶν ἀθλίων
ἀνθρώπων τὰς αἰσθήσεις ὀλεθρίῳ ἀγνοίας σκότῳ ἐνειληθείσας ἐπο-
›λιόρκει, ἐπιγνῶναι ὡς τῇ τῶν ἀθανάτων θεῶν φιλαγάθῳ προνοίᾳ
›διοικεῖται καὶ σταθεροποιεῖται· ὅπερ πρᾶγμα ἄπιστόν ἐστιν εἰπεῖν 4
›ὅπως κεχαρισμένον ὅπως τε ἥδιστον καὶ προσφιλὲς ἡμῖν γέγονεν
›ὡς μέγιστον δεῖγμα τῆς θεοφιλοῦς ὑμῶν προαιρέσεως δεδωκέναι,
›ὁπότε καὶ πρὸ τούτου οὐδενὶ ἄγνωστον ἦν ὁποίας παρατηρήσεως
›καὶ θεοσεβείας πρὸς τοὺς ἀθανάτους θεοὺς ἐτυγχάνετε ὄντες, οἷς
›οὐ ψιλῶν καὶ ὑποκένων ῥημάτων πίστις, ἀλλὰ συνεχῆ καὶ παρά-

4—S. 820, 8 vgl. die Inschrift von Arykanda Arch. epigr. Mitth. aus Oesterreich 16, 93 f. 108

ATERBDMΣΛ

**29** *ἐδογμάτισεν* [ε R] TERMΣ *ἐδογμάτισεν τοῦτον ἐπ᾽ αὐτῶν λέξεων ἔχουσαν τὸν τρόπον* ABD

**1** *μαξίμου* M *Μαξιμίνου τοῦ νέου* $\Sigma^{a}$ | **5** *ἀποσεισαμένη* $\mathrm{AT}^{r}$ *ἀποστησαμένη* $\mathrm{T}^{1}$ERBDM | **6** *ἀθλίων* Π *ἀθέων* Σ | **7** *ἐνειληθεῖσα* MΣ | **9** vor *διοικεῖται* setzt ein *τὸ πᾶν* oder *τὰ πάντα* Σ | **11** vor *ὡς* erwartet man *τῶι* oder *διὰ τὸ* | *ὑμῶν* $\mathrm{AT}^{r}$RMΣ *ἡμῶν* $\mathrm{T}^{1}$EBD | *δεδωκέναι* $\mathrm{AD}^{r}$MΣ *δεδοκέναι* $\mathrm{BD}^{1}$ *δεδηλωκέναι* TER | **14/15** *συνεχῆ καὶ παράδοξα* falsche Übersetzung lateinischer nominat. femin., z. B. *solida et admiranda* scil. *fides*

814 »δόξα ἔργων ἐπισήμων γνωρίζεται. διόπερ ἐπαξίως ἡ ὑμετέρα πόλις 5
»θεῶν ἀθανάτων φόβον ἵδρυμά τε καὶ οἰκητήριον ἐπικαλοῖτο· πολ-
»λοῖς γοῦν παραδείγμασιν καταφαίνεται τῇ τῶν οὐρανίων θεῶν αὐ-
»τὴν ἐπιδημίᾳ ἀνθεῖν. ἰδοὺ τοίνυν ἡ ὑμετέρα πόλις πάντων τῶν 6
»ἰδίᾳ διαφερόντων αὐτῆς ἀμελήσασα καὶ τὰς πρότερον τῶν ὑπὲρ
»αὐτῆς πραγμάτων δεήσεις παριδοῦσα, ὅτε πάλιν ᾔσθετο τοὺς τῆς
»ἐπαράτου ματαιότητος γεγονότας ἕρπειν ἄρχεσθαι καὶ ὥσπερ ἀμε-
»ληθεῖσαν καὶ κεκοιμημένην πυρὰν ἀναζωπυρουμένων τῶν πυρσῶν
816 »μεγίστας πυρκαϊὰς ἀναπληροῦσαν, εὐθέως πρὸς τὴν ἡμετέραν εὐ-
»σέβειαν, ὥσπερ πρὸς μητρόπολιν πασῶν θεοσεβειῶν, χωρίς τινος
»μελλήσεως κατέφυγεν, ἴασίν τινα καὶ βοήθειαν ἀπαιτοῦσα· ἥντινα 7
»διάνοιαν σωτηριώδη διὰ τὴν πίστιν τῆς ὑμετέρας θεοσεβείας τοὺς
»θεοὺς ὑμῖν ἐμβεβληκέναι δῆλόν ἐστιν. ἐκεῖνος τοιγαροῦν, ἐκεῖνος ὁ
»ὕψιστος καὶ μέγιστος Ζεύς, ὁ προκαθήμενος τῆς λαμπροτάτης ὑμῶν
»πόλεως, ὁ τοὺς πατρῴους ὑμῶν θεοὺς καὶ γυναῖκας καὶ τέκνα καὶ
»ἑστίαν καὶ οἴκους ἀπὸ πάσης ὀλεθρίου φθορᾶς ῥυόμενος, ταῖς ὑμε-
»τέραις ψυχαῖς τὸ σωτήριον ἐνέπνευσεν βούλημα, ἐπιδεικνὺς καὶ ἐμ-
»φαίνων ὅπως ἐξαίρετόν ἐστιν καὶ λαμπρὸν καὶ σωτηριῶδες μετὰ
»τοῦ ὀφειλομένου σεβάσματος τῇ θρησκείᾳ καὶ ταῖς ἱεροθρησκείαις
»τῶν ἀθανάτων θεῶν προσιέναι. τίς γὰρ οὕτως ἀνόητος ἢ νοῦ 8
»παντὸς ἀλλότριος εὑρεθῆναι δύναται, ὃς οὐκ αἰσθάνεται τῇ φιλαγάθῳ
»τῶν θεῶν σπουδῇ συμβαίνειν μήτε τὴν γῆν τὰ παραδιδόμενα αὐτῇ
»σπέρματα ἀρνεῖσθαι τὴν τῶν γεωργῶν ἐλπίδα κενῇ προσδοκίᾳ
»σφάλλουσαν, μηδ᾽ αὖ ἀσεβοῦς πολέμου πρόσοψιν ἀνεπικωλύτως ἐπὶ
»γῆς στηρίζεσθαι καὶ φθαρείσης τῆς τοῦ οὐρανοῦ εὐκρασίας αὐχμῶντα
»τὰ σώματα πρὸς θάνατον κατασύρεσθαι, μηδὲ μὴν ἀμέτρων ἀνέμων
»πνεύμασι τὴν θάλασσαν κυμαίνουσαν κορυφοῦσθαι, μηδέ γε καται-
»γίδας ἀπροσδοκήτους καταρρηγνυμένας ὀλέθριον χειμῶνα ἐπεγεί-
»ρειν, ἔτι τοίνυν μηδὲ τὴν τροφὸν ἁπάντων καὶ μητέρα γῆν ἀπὸ
»τῶν κατωτάτω λαγόνων ἑαυτῆς ἐν φοβερῷ τρόμῳ καταδυομένην
»μηδέ γε τὰ ἐπικείμενα ὄρη χασμάτων γινομένων καταλύεσθαι, ἅπερ

ATERBDM, Σ [814, 18 ἰδοὺ — 816, 5 δῆλόν ἐστιν nur in $\Sigma^{arm}$], Λ

**15** ἔργων TERBDM ἔργα A | **16** φόβον $T^{1}$EBDM > $AT^{r}R\Sigma$ ἄφθορον Schw | **21** ἕρπειν ἄρχεσθαι AR ἕρπειν καὶ ἄρχεσθαι TEBDM *anfiengen zu schimpfen* $\Sigma^{arm}$

**1** ἀναπληροῦσαν ATER ἀποπληροῦσαν BDM | **11** ἱεροθρησκείαισ *Π dem Dienst der Opfer* Σ ἱερουργίαισ Schw | **12** ἢ νοῦ] ἢ ἡλίου Σ [Nestle] | **16** πρὸς ὄψιν Σ | **17** αὐχμῶντα $AT^{1}BD$ αὐχμῶτα M αὐχμῶι $T^{c}ER\Sigma$ | **18** πρὸσ BDM εἰσ ATER | **21** μὴ δὲ BDM μήτε ATER | **23** καταλύεσθαι BDMΣ καταλελύσθαι TE καταλελύεσθαι R καταδύεσθαι A

816 ›πάντα καὶ τούτων ἔτι πολλῷ χαλεπώτερα κακὰ πρὸ τούτου πολλάκις
›γεγονέναι οὐδεὶς ἀγνοεῖ. καὶ ταῦτα σύμπαντα διὰ τὴν ὀλέθριον πλά- 9
›νην τῆς ὑποκένου ματαιότητος τῶν ἀθεμίτων ἐκείνων ἀνθρώπων
›ἐγίνετο, ἡνίκα κατὰ τὰς ψυχὰς αὐτῶν ἐπεπόλαζεν καὶ σχεδὸν εἰπεῖν
›τὰ πανταχοῦ τῆς οἰκουμένης αἰσχύναις ἐπίεζεν‹.

818 τούτοις μεθ᾽ ἕτερα ἐπιλέγει 10

›ἐφοράτωσαν ἐν τοῖς πλατέσιν ἤδη πεδίοις ἀνθοῦντα τὰ λήϊα
›καὶ τοῖς ἀστάχυσιν ἐπικυμαίνοντα καὶ τοὺς λειμῶνας δι᾽ εὐομβρίαν
›φυαῖς καὶ ἄνθεσιν λαμπομένους καὶ τὴν τοῦ ἀέρος κατάστασιν
›εὔκρατόν τε καὶ πραοτάτην ἀποδοθεῖσαν, χαιρέτωσαν λοιπὸν 11
›ἅπαντες διὰ τῆς ἡμετέρας εὐσεβείας ἱερουργίας τε καὶ τιμῆς
›τῆς τοῦ δυνατωτάτου καὶ στερροτάτου ἀέρος ἐξευμενισθείσης καὶ
›διὰ τοῦτο τῆς εὐδινοτάτης εἰρήνης βεβαίως μεθ᾽ ἡσυχίας ἀπολαύ-
›οντες ἡδυνέσθωσαν. καὶ ὅσοι τῆς τυφλῆς ἐκείνης πλάνης καὶ περιό-
›δου παντάπασιν ὠφεληθέντες εἰς ὀρθὴν καὶ καλλίστην διάνοιαν
›ἐπανῆλθον, μειζόνως μὲν οὖν χαιρέτωσαν ὡς ἂν ἐκ χειμῶνος ἀπροσ-
›δοκήτου ἢ νόσου βαρείας ἀποσπασθέντες καὶ ἡδεῖαν εἰς τοὐπιὸν
›ζωῆς ἀπόλαυσιν καρπωσάμενοι· εἰ δὲ τῇ ἐπαράτῳ αὐτῶν ματαιότητι 12
›ἐπιμένοιεν, πολλῷ πόρρωθεν τῆς ὑμετέρας πόλεως καὶ περιχώρου,
›καθὼς ἠξιώσατε, ἀποχωρισθέντες ἐξελαθήτωσαν, ἵν᾽ οὕτως κατ᾽
›ἀκολουθίαν τῆς ἀξιεπαίνου ὑμῶν περὶ τοῦτο σπουδῆς παντὸς
›μιάσματος καὶ ἀσεβείας ἀποχωρισθεῖσα ἡ ὑμετέρα πόλις καὶ τὴν
›ἔμφυτον αὐτῇ πρόθεσιν μετὰ τοῦ ὀφειλομένου σεβάσματος ταῖς τῶν
›ἀθανάτων θεῶν ἱερουργίαις ὑπακούοι. ἵνα δὲ εἰδῆτε ὅσῳ προσφιλὴς 13
›ἡμῖν γέγονεν ἡ περὶ τούτου ἀξίωσις ὑμῶν, καὶ χωρὶς ψηφισμάτων

ATERBDMΣΔ

**24** *πολλῶ* BD *πολλᾶ* M > ATER

**4** *φυαῖσ* BDM *φύεσθαι* $T^1$ER *φύαισ τε* $T^r$ *φυτοῖσ* A *(Blumen)pflanzen* Σ *ποίαι* Wendland | **6** *ἡμετέρασ* $T^1$ERBDM *ὑμετέρασ* $AT^r$ | **7** *ἀέροσ* TERBDMΣ, Δ [*quam suis impiis actibus descripserat famulari*], *ἄρεὼσ δυνάμεωσ* A, verdorbene Stelle | **10** *ὠφεληθέντεσ* TERBDMΣ *ἀποστάντεσ* A | **11** *μὲν οὖν* schlecht für *μέν* | **12** *ἡδεῖαν* $AT^c$, E durch Rasur, R *ἡδὺν* $T^1$BD *ἡδὺ* M | **13** *καρπωσάμενοι* $AT^1RB^1M$ *καρπωσόμενοι* T durch Rasur, $EB^cD$ | **14** *πολλῶ* BDM *ἐν πολλῶ* ATER | **15/16** *κατ᾽—σπουδῆς* haben ihre richtige Stelle nach *πόλις* [17] | **17** *καί*$^2$ TERBDM > A *κατὰ* Σ durch Conjectur, vgl. zu 15/16

818 »καὶ χωρὶς δεήσεως αὐθαιρέτῳ βουλήσει ἡ ἡμετέρα προθυμοτάτη
22 »φιλαγαθίας ψυχὴ ἐπιτρέπομεν τῇ ὑμετέρᾳ καθοσιώσει ὁποίαν δἂν
820 »βουληθῆτε μεγαλοδωρεὰν ἀντὶ ταύτης ὑμῶν τῆς φιλοθέου προ-
»θέσεως αἰτῆσαι. καὶ ἤδη μὲν τοῦτο ποιεῖν καὶ λαβεῖν ἀξιώσατε· 14
»τεύξεσθε γὰρ αὐτῆς χωρίς τινος ὑπερθέσεως· ἥτις παρασχεθεῖσα τῇ
»ὑμετέρᾳ πόλει εἰς ἅπαντα τὸν αἰῶνα τῆς περὶ τοὺς ἀθανάτους
»θεοὺς φιλοθέου εὐσεβείας παρέξει μαρτυρίαν, τοῦ δὲ ὑμᾶς ἀξίων
»ἐπάθλων τετυχηκέναι παρὰ τῆς ἡμετέρας φιλαγαθίας ταύτης ὑμῶν
»ἕνεκεν τῆς τοῦ βίου προαιρέσεως υἱοῖς τε καὶ ἐκγόνοις ὑμετέροις
»ἐπιδειχθήσεται«.

Ταῦτα δὴ καθ' ἡμῶν κατὰ πᾶσαν ἐπαρχίαν ἀνεστηλίτευτο, *H* 15
πάσης ἐλπίδος, τὸ γοῦν ἐπ' ἀνθρώποις, ἀγαθῆς τὰ καθ' ἡμᾶς ἀπο-
κλείοντα· ὡς κατ' αὐτὸ δὴ τὸ θεῖον ἐκεῖνο λόγιον, εἰ δυνατόν, ἐπὶ
τούτοις καὶ τοὺς ἐκλεκτοὺς αὐτοὺς σκανδαλίζεσθαι. ἤδη γέ τοι 16
σχεδὸν τῆς παρὰ τοῖς πλείστοις ἀποψυχούσης προσδοκίας, ἀθρόως,
καθ' ὁδὸν ἔτι τὴν πορείαν ἔν τισιν χώραις διανυόντων τῶν τὴν
προκειμένην καθ' ἡμῶν γραφὴν διακονουμένων, ὁ τῆς ἰδίας ἐκκλησίας
ὑπέρμαχος θεὸς μόνον οὐχὶ τὴν τοῦ τυράννου καθ' ἡμῶν ἐπιστο-
μίζων μεγαλαυχίαν, τὴν ὑπὲρ ἡμῶν οὐράνιον συμμαχίαν ἐπεδεί-
κνυτο. οἱ μὲν οὖν ἐξ ἔθους ὄμβροι τε καὶ ὑετοὶ χειμαδίου τῆς 8 1
ὥρας ὑπαρχούσης τὴν ἐπὶ γῆς ἀνεῖχον συνήθη φοράν, λιμὸς δ' ἀδό-
κητος ἐπισκήπτει καὶ λοιμὸς ἐπὶ τούτῳ καί τινος ἑτέρου νοσήματος
— ἕλκος δὲ ἦν φερωνύμως τοῦ πυρώδους ἕνεκεν ἄνθραξ προσαγο-
ρευόμενον — ἐπιφορά, ὃ καὶ καθ' ὅλων μὲν ἕρπον τῶν σωμάτων
σφαλεροὺς ἐνεποίει τοῖς πεπονθόσι κινδύνους, οὐ μὴν ἀλλὰ καὶ κατὰ
τῶν ὀφθαλμῶν διαφερόντως ἐπὶ πλεῖστον γινόμενον μυρίους ὅσους
ἄνδρας ἅμα γυναιξὶν καὶ παισὶν πηροὺς ἀπειργάζετο. τούτοις 2

**11/12** Matth. 24, 24, vgl. zu 604, 4

ATERBDMΣΛ

**21** *ἡ ἡμετέρα* AT¹ERBDΣ *ἡ γαληνότησ ἡ ἡμετέρα* Tr *ἡ ὑμετέρα* M *ἥ* ⟨*ἐστιν ἡ*⟩ *ἡμετέρα* [= *qui est noster animus*] Schw | **21/22** *προθυμοτάτη φιλαγαθίασ ψυχὴ* T¹E *ψυχὴ* in *ψυχῇ* corr. Tr *προθυμοτάτη φιλαγαθίαισ ψυχὴ* AR *προθυμοτάτη φιλαγαθία ψυχῆσ* M *φιλάγαθοσ καὶ προθυμοτάτη* [*προθυμωτάτη* B] *ψυχὴ* BD

**5** *τοῦ τε* Valois *τὸ δὲ* Mommsen, aber *ἐπιδειχθήσεται* kann schlechte Übersetzung von *documentum erit* oder *fiet* sein | **7** *ἐκγόνοισ* ATER *ἐγγόνοισ* BDM | **12** *αὐτοὺσ* ATER > BDMΛΣ | **14** *ἔτι* BDM *ἔτι σχεδὸν* ATER | **15** *καθ' ἡμῶν γραφὴν* TᶜEBDM *γραφὴν καθ' ἡμῶν* A *καθ' ἡμῶν* T¹ *ταύτην γραφὴν καθ' ἡμῶν* Tr *ταύτην καθ' ἡμῶν γραφὴν* R | **17** *συμμαχίαν* BDM *αὐτοῦ συμμαχίαν* ATERΣ | **24** *πλεῖστον* ARDM *πλείστων* TEBΣ

822 προσεπανίσταται τῷ τυράννῳ ὁ πρὸς Ἀρμενίους πόλεμος, ἄνδρας
ἐξ ἀρχαίου φίλους τε καὶ συμμάχους Ῥωμαίων, οὓς καὶ αὐτοὺς Χρι-
στιανοὺς ὄντας καὶ τὴν εἰς τὸ θεῖον εὐσέβειαν διὰ σπουδῆς ποιουμέ- 3
νους ὁ θεομισὴς εἰδώλοις θύειν καὶ δαίμοσιν ἐπαναγκάσαι πεπειρα-
μένος, ἐχθροὺς ἀντὶ φίλων καὶ πολεμίους ἀντὶ συμμάχων κατεστή-
σατο. ἀθρόως δὴ ταῦτα πάντα ὑφ' ἕνα καὶ τὸν αὐτὸν συρρεύ-
σαντα καιρόν, τῆς τοῦ τυράννου θρασύτητος τὴν κατὰ τοῦ θείου
μεγαλαυχίαν διήλεγξεν, ὅτι δὴ τῆς περὶ τὰ εἴδωλα αὐτοῦ σπουδῆς
καὶ τῆς καθ' ἡμῶν ἕνεκα πολιορκίας μὴ λιμὸν μηδὲ λοιμὸν μηδὲ
μὴν πόλεμον ἐπὶ τῶν αὐτοῦ συμβῆναι καιρῶν ἐθρασύνετο. ταῦτα
δ' οὖν ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ἐπελθόντα, καὶ τῆς αὐτοῦ καταστρο-
φῆς περιειλήφει τὰ προοίμια. αὐτὸς μὲν οὖν περὶ τὸν πρὸς Ἀρ- 4
μενίους πόλεμον ἅμα τοῖς αὐτοῦ στρατοπέδοις κατεπονεῖτο, τοὺς
δὲ λοιποὺς τῶν τὰς ὑπ' αὐτὸν πόλεις οἰκούντων δεινῶς ὅ λιμός τε
ἅμα καὶ ὁ λοιμὸς κατετρυχέτην, ὡς ἑνὸς μέτρου πυρῶν δισχιλίας καὶ
πεντακοσίας Ἀττικὰς ἀντικαταλλάττεσθαι. μυρίοι μὲν οὖν ἐτύγ- 5
χανον οἱ κατὰ πόλεις θνήσκοντες, πλείους δὲ τούτων οἱ κατ' ἀγροὺς
τε καὶ κώμας, ὡς ἤδη καὶ τὰς πάλαι τῶν ἀγροίκων πολυάνδρους
ἀπογραφὰς μικροῦ δεῖν παντελῆ παθεῖν ἐξάλειψιν, ἀθρόως σχεδὸν
ἁπάντων ἐνδείᾳ τροφῆς καὶ λοιμώδει νόσῳ διεφθαρμένων. τινὲς 6
μὲν οὖν τὰ ἑαυτῶν φίλτατα βραχυτάτης τροφῆς τοῖς εὐπορωτέροις
ἀπεμπολᾶν ἠξίουν, ἄλλοι δὲ τὰς κτήσεις κατὰ βραχὺ διαπιπράσκοντες
εἰς ἐσχάτην ἐνδείας ἀπορίαν ἤλαυνον, ἤδη δέ τινες σμικρὰ χόρτου
διαμασώμενοι σπαράγματα καί τινας ἀνέδην φθοροποιοὺς ἐσθίοντες
πόας, τὴν τῶν σωμάτων ἕξιν λυμαινόμενοι διώλλυντο. καὶ γυ- 7
ναίων δὲ τῶν κατὰ πόλεις εὐγενίδων τινὲς εἰς ἀναίσχυντον ἀνάγκην
πρὸς τῆς ἀπορίας ἐλαθεῖσαι, μεταιτεῖν ἐπὶ τῶν ἀγορῶν προεληλύ-
θεσαν, τῆς πάλαι ἐλευθερίου τροφῆς ὑπόδειγμα διὰ τῆς περὶ τὸ
πρόσωπον αἰδοῦς καὶ τῆς ἀμφὶ τὴν περιβολὴν κοσμιότητος ὑποφαί-
νουσαι. καὶ οἱ μὲν ἀπεσκληκότες ὥσπερ εἴδωλα νεκρὰ ὧδε κἀ- 8
κεῖσε ψυχορραγοῦντες ἐνσειόμενοί τε καὶ περιολισθαίνοντες ὑπ' ἀδυ-
824 ναμίας τοῦ στῆναι κατέπιπτον ἐν μέσαις τε πλατείαις πρηνεῖς ἡπλω-
μένοι ὀρέξαι σφίσιν μικρὸν τρύφος ἄρτου κατηντιβόλουν καὶ τὴν
ψυχὴν πρὸς ἐσχάταις ἔχοντες ἀναπνοαῖς πεινῆν ἐπεβόων, πρὸς μόνην

ATERBDMΣΛ

**15** ὁ λοιμὸσ BDM λοιμὸσ ATER | **24** ἀναίδην ABMΣ | **27/28** προελήλύθεσαν A, T durch Ras. corr., R προεληλύθεισαν B προεληλύθησαν D προσεληλύθεσαν $T^1$EM

**1** τε πλατείαισ πρηνεῖσ BDMΣ ταῖσ πλατείαισ πρηνεῖσ TER[1] ταῖσ πλατείαισ πρηνεῖσ δ' Α ταῖσ πλατείαισ καὶ πρηνεῖσ $R^c$

824 ταύτην τὴν ὀδυνηροτάτην φωνὴν εὐσθενεῖς καθιστάμενοι· οἳ δὲ τὴν 9
πληθὺν τῶν αἰτούντων καταπληττόμενοι, ὅσοι τῶν εὐπορωτέρων
ἐδόκουν εἶναι, μετὰ τὸ μυρία παρασχεῖν εἰς ἀπηνῆ λοιπὸν καὶ
ἄτεγκτον ἐχώρουν διάθεσιν, τὰ αὐτὰ τοῖς αἰτοῦσιν ὅσον οὔπω καὶ
αὐτοὶ πείσεσθαι προσδοκῶντες, ὥστ᾽ ἤδη κατὰ μέσας ἀγορὰς καὶ
στενωποὺς νεκρὰ καὶ γυμνὰ σώματα ἐφ᾽ ἡμέραις πλείοσιν ἄταφα
διερριμμένα θέαν τοῖς ὁρῶσιν οἰκτροτάτην παρέχειν. ἤδη γέ τοι 10
καὶ κυνῶν τινες ἐγίνοντο βορά, δι᾽ ἣν μάλιστα αἰτίαν οἱ ζῶντες ἐπὶ
τὴν κυνοκτονίαν ἐτράποντο δέει τοῦ μὴ λυσσήσαντας ἀνθρωποφα-
γίαν ἐργάσασθαι. οὐχ ἥκιστα δὲ καὶ ὁ λοιμὸς πάντας οἴκους ἐπε- 11
βόσκετο, μάλιστα δ᾽ οὓς ὁ λιμὸς διὰ τὸ εὐπορεῖν τροφῶν οὐχ οἷός
τε ἦν ἐκτρῖψαι· οἱ γοῦν ἐν περιουσίαις, ἄρχοντες καὶ ἡγεμόνες καὶ
μυρίοι τῶν ἐν τέλει, ὥσπερ ἐπίτηδες τῇ λοιμώδει νόσῳ πρὸς
τοῦ λιμοῦ καταλελειμμένοι, ὀξεῖαν καὶ ὠκυτάτην ὑπέμενον τελευ-
τήν. πάντα δ᾽ οὖν οἰμωγῶν ἦν ἀνάπλεα, κατὰ πάντας τε στενω-
ποὺς ἀγοράς τε καὶ πλατείας οὐδ᾽ ἦν ἄλλο τι θεωρεῖν ἢ θρήνους
μετὰ τῶν συνήθων αὐτοῖς αὐλῶν τε καὶ κτύπων. τοῦτον δὴ τὸν 12
τρόπον δυσὶν ὅπλοις τοῖς προδεδηλωμένοις λοιμοῦ τε ὁμοῦ καὶ
λιμοῦ στρατεύσας, ὅλας ὁ θάνατος ἐν ὀλίγῳ γενεὰς ἐνεμήθη, ὡς
ὁρᾶν ἤδη δυεῖν καὶ τριῶν σώματα νεκρῶν ὑπὸ μίαν ἐκφορὰν προ-
κομιζόμενα. τοιαῦτα τῆς Μαξιμίνου μεγαλαυχίας καὶ τῶν κατὰ 13
πόλεις καθ᾽ ἡμῶν ψηφισμάτων τὰ ἐπίχειρα ἦν, ὅτε καὶ τῆς Χρι-
στιανῶν περὶ πάντα σπουδῆς τε καὶ εὐσεβείας πᾶσιν ἔθνεσιν διάδηλα
κατέστη τὰ τεκμήρια. μόνοι γοῦν ἐν τηλικαύτῃ κακῶν περιστάσει 14
826 τὸ συμπαθὲς καὶ φιλάνθρωπον ἔργοις αὐτοῖς ἐπιδεικνύμενοι, διὰ
πάσης ἡμέρας οἳ μὲν τῇ τῶν θνῃσκόντων (μυριάδες δ᾽ ἦσαν οἷς
οὔτις ἦν ὁ ἐπιμελησόμενος) κηδείᾳ τε καὶ ταφῇ προσεκαρτέρουν, οἳ
δὲ τῶν ἀνὰ πᾶσαν τὴν πόλιν πρὸς τοῦ λιμοῦ κατατρυχομένων τὴν
πληθὺν ὑπὸ μίαν σύναξιν ἀθροίζοντες ἄρτους διένεμον τοῖς πᾶσιν,
ὡς περιβόητον εἰς πάντας ἀνθρώπους καταστῆναι τὸ πρᾶγμα θεόν
τε τῶν Χριστιανῶν δοξάζειν εὐσεβεῖς τε καὶ μόνους θεοσεβεῖς τού-
τους ἀληθῶς πρὸς αὐτῶν ἐλεγχθέντας τῶν πραγμάτων ὁμολογεῖν·
ἐφ᾽ οἷς τοῦτον ἐπιτελουμένοις τὸν τρόπον ὁ μέγας καὶ οὐράνιος 15
Χριστιανῶν ὑπέρμαχος θεὸς τὴν κατὰ πάντων ἀνθρώπων διὰ τῶν
δεδηλωμένων ἐπιδειξάμενος ἀπειλὴν καὶ ἀγανάκτησιν ἀνθ᾽ ὧν εἰς

ATERBDMΣΔ

**10** *παρέχειν* BD *παρεῖχεν* M *παρασχεῖν* TER *παρέχεσθαι* A | **11** *αἰτίαν οἱ ζῶντεσ* ATER *αἰτίαν ζῶντεσ* M *οἱ ζῶντεσ αἰτίαν* BD | **13** *οἴκουσ* T¹BDMΣ *οἴκουσ καὶ γενεὰσ* AER *οἴκουσ καὶ πατριὰσ καὶ γένοσ πᾶν* Tr, Tc getilgt

**3** *οὔτισ* AT¹BD *οὐδεὶσ* TcERM | **5** *σύναξιν* BDΣ *σύνοψιν* ATERM

826 ἡμᾶς ὑπερβαλλόντως ἐνεδείξαντο, τὴν εὐμενῆ καὶ φαιδρὰν τῆς αὐ-
τοῦ περὶ ἡμᾶς προνοίας αὖθις ἡμῖν αὐγὴν ἀπεδίδου, ὡς ἐν βαθεῖ
σκότῳ παραδοξότατα φῶς ἡμῖν ἐξ αὐτοῦ καταλάμπων εἰρήνης ἐκφανές
τε τοῖς πᾶσιν καθιστὰς θεὸν αὐτὸν τῶν καθ' ἡμᾶς ἐπίσκοπον διὰ
παντὸς γεγονέναι πραγμάτων, μαστίζοντα μὲν καὶ διὰ τῶν περιστά-
σεων κατὰ καιρὸν ἐπιστρέφοντα τὸν αὐτοῦ λαὸν πάλιν τ' αὖ μετὰ
τὴν αὐτάρκη παιδείαν ἵλεω καὶ εὐμενῆ τοῖς εἰς αὐτὸν τὰς ἐλπίδας
ἔχουσιν ἀναφαινόμενον.
Οὕτω δῆτα Κωνσταντίνου, ὃν βασιλέα ἐκ βασιλέως εὐσεβῆ τε ἐξ Θ 9 1
εὐσεβεστάτου καὶ πάντα σωφρονεστάτου γεγονέναι προειρήκαμεν,
πρὸς τοῦ παμβασιλέως θεοῦ τε τῶν ὅλων καὶ σωτῆρος κατὰ τῶν
δυσσεβεστάτων τυράννων ἀνεγηγερμένου πολέμου τε νόμῳ παρα-
ταξαμένου, θεοῦ συμμαχοῦντος αὐτῷ παραδοξότατα, πίπτει μὲν ἐπὶ
828 Ῥώμης ὑπὸ Κωνσταντῖνον Μαξέντιος, ὁ δ' ἐπ' ἀνατολῆς οὐ πολὺν
ἐπιζήσας ἐκείνῳ χρόνον, αἰσχίστῳ καὶ αὐτὸς ὑπὸ Λικίννιον οὔπω
μανέντα τότε καταστρέφει θανάτῳ. πρότερός γε μὴν ὁ καὶ τιμῇ 2
καὶ τάξει τῆς βασιλείας πρῶτος Κωνσταντῖνος τῶν ἐπὶ Ῥώμης
κατατυραννουμένων φειδὼ λαβών, θεὸν τὸν οὐράνιον τόν τε τοῦ-
του λόγον, αὐτὸν δὴ τὸν πάντων σωτῆρα Ἰησοῦν Χριστόν, σύμμαχον
δι' εὐχῶν ἐπικαλεσάμενος, πρόεισιν πανστρατιᾷ, Ῥωμαίοις τὰ τῆς ἐκ
προγόνων ἐλευθερίας προμνώμενος. Μαξεντίου δῆτα μᾶλλον ταῖς 3
κατὰ γοητείαν μηχαναῖς ἢ τῇ τῶν ὑπηκόων ἐπιθαρσοῦντος εὐνοίᾳ,
προελθεῖν γε μήν, οὐδ' ὅσον πυλῶν τοῦ ἄστεος ἐπιτολμῶντος, ὁπλι-
τῶν δ' ἀνηρίθμῳ πλήθει καὶ στρατοπέδων λόχοις μυρίοις πάντα
τόπον καὶ χώραν καὶ πόλιν, ὅση τις ἐν κύκλῳ τῆς Ῥωμαίων καὶ

**22—24** *πρὸς — αὐτῶι* BDMΣ *Λικιννίου τε τοῦ μετ' αὐτόν, συνέσει καὶ εὐσεβείαι τετιμημένων* [*τετιμημένου* Rc], *πρὸς — σωτῆρος δύο θεοφιλῶν κατὰ τῶν δύο δυσσεβεστάτων τυράννων ἀνεγηγερμένων πολέμου τε νόμωι παραταξαμένων, θεοῦ συμμαχοῦντος αὐτοῖς* ATER nach der früheren Ausgabe

**2/3** *οὔπω μανέντα τότε* Zusatz der letzten Ausgabe

**16—18** vgl. Prov. 3, 11. 12 = Hebr. 12, 5. 6 — **20/21** 776, 9—778, 2 = 796, 19—797, 8

**4**—S. 832, 14 vgl. Vit. Const. 24, 14—26, 26

ATERBDMΣΔ

**13** *αὐγὴν* ATER *αὐτὴν* BDMΣ | **14** *ἡμῖν* ATERΣ > BDM | **20** *δῆτα* BD *δῆτα* M *δὴ* ATER | **22** *τε* ABDM > TER

**1** *κωνσταντῖνον* BDM *κωνσταντίνου* ATER | **2/3** *λικίννιον — μανέντα* $T^1ER^1$BDM *λικιννίου — μανέντοσ* $AT^rR^c$ | **5** *θν̅* T durch Rasur, ERBDMΣ *θν̅ θν̅* A vor *θν̅* drei radirte Buchstaben $T^1$

828 Ἰταλίας ἁπάσης ὑπ᾽ αὐτῷ δεδούλωτο, φραξαμένου, ὁ τῆς ἐκ θεοῦ
συμμαχίας ἀνημμένος βασιλεὺς ἐπιὼν πρώτῃ καὶ δευτέρᾳ καὶ τρίτῃ
τοῦ τυράννου παρατάξει εὖ μάλα τε πάσας ἑλών, πρόεισιν ἐπὶ
πλεῖστον ὅσον τῆς Ἰταλίας ἤδη τε αὐτῆς Ῥώμης ἄγχιστα ἦν· εἶθ᾽ 4
ὡς μὴ τοῦ τυράννου χάριν Ῥωμαίοις πολεμεῖν ἀναγκάζοιτο, θεὸς
αὐτὸς δεσμοῖς τισιν ὥσπερ τὸν τύραννον πορρωτάτω πυλῶν ἐξέλκει
καὶ τὰ πάλαι δὴ κατὰ ἀσεβῶν ὡς ἐν μύθου λόγῳ παρὰ τοῖς πλεί-
στοις ἀπιστούμενα, πιστά γε μὴν πιστοῖς ἐν ἱεραῖς βίβλοις ἐστηλι-
τευμένα, αὐτῇ ἐναργείᾳ πᾶσιν ἁπλῶς εἰπεῖν, πιστοῖς καὶ ἀπίστοις,
ὀφθαλμοῖς τὰ παράδοξα παρειληφόσιν, ἐπιστώσατο. ὥσπερ γοῦν 5
ἐπ᾽ αὐτοῦ Μωυσέως καὶ τοῦ πάλαι θεοσεβοῦς Ἑβραίων γένους ἅρ-
ματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν,
ἐπιλέκτους ἀναβάτας τριστάτας· κατεπόθησαν ἐν θαλάσσῃ
830 ἐρυθρᾷ, πόντος ἐκάλυψεν αὐτούς, κατὰ τὰ αὐτὰ δὴ καὶ Μαξέν-
τιος οἵ τε ἀμφ᾽ αὐτὸν ὁπλῖται καὶ δορυφόροι ἔδυσαν εἰς βυθὸν
ὡς εἰ λίθος, ὁπηνίκα νῶτα δοὺς τῇ ἐκ θεοῦ μετὰ Κωνσταντίνου
δυνάμει, τὸν πρὸ τῆς πορείας διῄει ποταμόν, ὃν αὐτὸς σκάφεσιν
ζεύξας καὶ εὖ μάλα γεφυρώσας μηχανὴν ὀλέθρου καθ᾽ ἑαυτοῦ συν-
εστήσατο· ἐφ᾽ ᾧ ἦν εἰπεῖν λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐ- 6
τόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ἐπιστρέψει ὁ
πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ
ἀδικία αὐτοῦ καταβήσεται. ταύτῃ δῆτα τοῦ ἐπὶ τοῦ ποταμοῦ 7
ζεύγματος διαλυθέντος, ὑφιζάνει μὲν ἡ διάβασις, χωρεῖ δ᾽ ἀθρόως
αὔτανδρα κατὰ τοῦ βυθοῦ τὰ σκάφη, καὶ αὐτός γε πρῶτος ὁ δυσσε-
βέστατος, εἶτα δὲ καὶ οἱ ἀμφ᾽ αὐτὸν ὑπασπισταί, ᾗ τὰ θεῖα προανα-
φωνεῖ λόγια, ἔδυσαν ὡς εἰ μόλιβδος ἐν ὕδατι σφοδρῷ· ὥστε 8
εἰκότως εἰ μὴ λόγοις, ἔργοις δ᾽ οὖν ὁμοίως τοῖς ἀμφὶ τὸν μέγαν
θεράποντα Μωυσέα τοὺς παρὰ θεοῦ τὴν νίκην ἀραμένους αὐτὰ δὴ
τὰ κατὰ τοῦ πάλαι δυσσεβοῦς τυράννου ὧδέ πως ἂν ὑμνεῖν καὶ
λέγειν ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. ἵππον

**23**—S. 830, 1 Exod. 15, 4. 5

**2/3** Exod. 15, 5 — **6—9** Psalm 7, 16. 17 — **13** Exod. 15, 10 — **17—19** Exod. 15, 1. 2

ATERBDMΣΛ

**13** *αὐτῶν* Σ | **21** *ἐναργείᾳ πᾶσιν* AT$^{c}$ER *ἐναργίᾳ πᾶσιν* T$^{1}$ *ἐναργῆ ἅπασιν* M *ἐνεργείᾳ πᾶσιν* BDΣ (*αὐταῖς*) *ἐνεργείαις ἅπασιν* Vit. Const. 25, 3 HSS | **22** *γ᾽οῦν* T$^{c}$ERBDM Vit. Const. 25, 5 *οὖν* AT$^{1}$

**6** *ἦν* BDM Vit. Const. 25, 15 *ἂν ἦν* TER *ἂν* A | **15** *τοῖς—ἀραμένοις* Σ | *θυ̅* T$^{r}$RBDMΣ *θω̅* AT$^{1}$E | **15/16** *δῆτα* TERM | **16** *ἂν ὑμνεῖν* Σ (*εἰκότως ἂν*) *ἀνυμνεῖν* Vit. Const. 25, 23—26 *ἀνυμνεῖν* Π

830 καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν· βοηθὸς καὶ σκεπαστής
μου κύριος, ἐγένετό μοι εἰς σωτηρίαν καὶ τίς ὅμοιός σοι ἐν
θεοῖς, κύριε, τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυ-
μαστὸς ἐν δόξαις, ποιῶν τέρατα. ταῦτα καὶ ὅσα τούτοις 9
ἀδελφά τε καὶ ἐμφερῆ Κωνσταντῖνος τῷ πανηγεμόνι καὶ τῆς νίκης
αἰτίῳ θεῷ αὐτοῖς ἔργοις ἀνυμνήσας, ἐπὶ Ῥώμης μετ᾽ ἐπινικίων εἰσή-
λαυνεν, πάντων ἀθρόως αὐτὸν ἅμα κομιδῇ νηπίοις καὶ γυναιξὶν
τῶν τε ἀπὸ τῆς συγκλήτου βουλῆς καὶ τῶν ἄλλως διασημοτάτων
832 σὺν παντὶ δήμῳ Ῥωμαίων φαιδροῖς ὄμμασιν αὐταῖς ψυχαῖς οἷα λυ-
τρωτὴν σωτῆρά τε καὶ εὐεργέτην μετ᾽ εὐφημιῶν καὶ ἀπλήστου χαρᾶς
ὑποδεχομένων· ὃ δ᾽ ὥσπερ ἔμφυτον τὴν εἰς θεὸν εὐσέβειαν κεκτη- 10
μένος, μηδ᾽ ὅλως ἐπὶ ταῖς βοαῖς ὑποσαλευόμενος μηδ᾽ ἐπαιρόμενος
τοῖς ἐπαίνοις, εὖ μάλα τῆς ἐκ θεοῦ συνησθημένος βοηθείας, αὐτίκα
τοῦ σωτηρίου τρόπαιον πάθους ὑπὸ χεῖρα ἰδίας εἰκόνος ἀνατεθῆναι
προστάττει, καὶ δὴ τὸ σωτήριον σημεῖον ἐπὶ τῇ δεξιᾷ κατέχοντα
αὐτὸν ἐν τῷ μάλιστα τῶν ἐπὶ Ῥώμης δεδημοσιευμένῳ τόπῳ στή-
σαντας αὐτὴν δὴ ταύτην προγραφὴν ἐντάξαι ῥήμασιν αὐτοῖς τῇ Ῥω-
μαίων ἐγκελεύεται φωνῇ· »τούτῳ τῷ σωτηριώδει σημείῳ, τῷ ἀλη- 11
θεῖ ἐλέγχῳ τῆς ἀνδρείας τὴν πόλιν ὑμῶν ἀπὸ ζυγοῦ τοῦ τυράννου
διασωθεῖσαν ἠλευθέρωσα, ἔτι μὴν καὶ τὴν σύγκλητον καὶ τὸν δῆμον
Ῥωμαίων τῇ ἀρχαίᾳ ἐπιφανείᾳ καὶ λαμπρότητι ἐλευθερώσας ἀπο-
κατέστησα«. καὶ δὴ ἐπὶ τούτοις αὐτός τε Κωνσταντῖνος καὶ σὺν 12
αὐτῷ Λικίννιος, οὔπω τότε ἐφ᾽ ἣν ὕστερον ἐκπέπτωκεν μανίαν τὴν
διάνοιαν ἐκτραπείς, θεὸν τὸν τῶν ἀγαθῶν ἁπάντων αὐτοῖς αἴτιον
εὐμενίσαντες, ἄμφω μιᾷ βουλῇ καὶ γνώμῃ νόμον ὑπὲρ Χριστιανῶν
τελεώτατον πληρέστατα διατυποῦνται, καὶ τῶν πεπραγμένων εἰς

**15** *Λικίννιος* BDMΣΛ *βασιλεὺς Λικίννιος* ATER nach der früheren Ausgabe — **15/16** *οὔπω — ἐκτραπείς* Zusatz der letzten Ausgabe

**19—21** Exod. 15, 11

ATERBDMΣΛ

**21** *ταῦτα* TERBDM *ταῦτά τε* A, Vit. Const. 26, 3 wo aber *τε καὶ ἐμφερῆ* nach *ἀδελφά* fehlt | **25** *ἄλλωσ* TERBDM Vit. Const. 26, 7 *ἄλλων* A > Σ

**5** *συνησθημένοσ* BDM Vit. Const. 26, 14 *συναισθόμενοσ* ATER | **7** *τὸ σωτήριον* M *τὸ σωτήριον τοῦ σταυροῦ* AER *σταυροῦ* $T^1$BD *τὸ σταυροῦ* $T^r$ *das Zeichen unserer Erlösung das ist aber das Kreuz* Σ vgl. Vit. Const. 26, 16. 18 | **8** *δεδημοσιευμένω* ATER *δεδημοσιευμένων* BDM | **8/9** *στήσαντασ* BDM Vit. Const. 26, 21 *στήσαντεσ* ATER | **9** *προγραφὴν* $T^c$EBDM *ὑπογραφὴν* A$T^1$R *γραφὴν* Vit. Const. 26, 22 | **10/11** *ἀληθεῖ* BDM Vit. Const. 26, 23 *ἀληθινῷ* ATER | **13** *ῥωμαίων* ABDMΣ Vit. Const. 26, 25 > TER

832 αὐτοὺς ἐκ θεοῦ τὰ παράδοξα τά τε τῆς κατὰ τοῦ τυράννου νίκης
καὶ τὸν νόμον αὐτὸν Μαξιμίνῳ, τῶν ἐπ᾽ ἀνατολῆς ἐθνῶν ἔτι δυ-
ναστεύοντι φιλίαν τε πρὸς αὐτοὺς ὑποκοριζομένῳ, διαπέμπονται.
ὃ δ᾽ οἷα τύραννος περιαλγὴς ἐφ᾽ οἷς ἔγνω, γεγενημένος, εἶτα μὴ 13
δοκεῖν ἑτέροις εἶξαι βουλόμενος μηδ᾽ αὖ παρεκθέσθαι τὸ κελευσθὲν
δέει τῶν προστεταχότων ὡς ἂν ἐξ ἰδίας αὐθεντίας τοῖς ὑπ᾽ αὐτὸν
834 ἡγεμόσιν τοῦτο πρῶτον ὑπὲρ Χριστιανῶν ἐπάναγκες διαχαράττει τὸ
γράμμα, τὰ μηδέπω ποτὲ πρὸς αὐτοῦ πεπραγμένα ἐπιπλάστως αὐτὸς
καθ᾽ ἑαυτοῦ ψευδόμενος.

## ΑΝΤΙΓΡΑΦΟΝ ΕΡΜΗΝΕΙΑΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΤΥΡΑΝΝΟΥ

»Ἰόβιος Μαξιμῖνος Σεβαστὸς Σαβίνῳ. καὶ παρὰ τῇ σῇ στιβαρό- 9a 1
»τητι καὶ παρὰ πᾶσιν ἀνθρώποις φανερὸν εἶναι πέποιθα τοὺς
»δεσπότας ἡμῶν Διοκλητιανὸν καὶ Μαξιμιανόν, τοὺς ἡμετέρους πα-
»τέρας, ἡνίκα συνεῖδον σχεδὸν ἅπαντας ἀνθρώπους καταλειφθείσης
»τῆς τῶν θεῶν θρησκείας τῷ ἔθνει τῶν Χριστιανῶν ἑαυτοὺς συμμεμιχό-
»τας, ὀρθῶς διατεταχέναι πάντας ἀνθρώπους τοὺς ἀπὸ τῆς τῶν
»αὐτῶν θεῶν τῶν ἀθανάτων θρησκείας ἀναχωρήσαντας προδήλῳ
»κολάσει καὶ τιμωρίᾳ εἰς τὴν θρησκείαν τῶν θεῶν ἀνακληθῆναι.
»ἀλλ᾽ ὅτε ἐγὼ εὐτυχῶς τὸ πρῶτον εἰς τὴν ἀνατολὴν παρεγενόμην 2
»καὶ ἔγνων εἴς τινας τόπους πλείστους τῶν ἀνθρώπων τὰ δημόσια
»ὠφελεῖν δυναμένους ὑπὸ τῶν δικαστῶν διὰ τὴν προειρημένην αἰ-
»τίαν ἐξορίζεσθαι, ἑκάστῳ τῶν δικαστῶν ἐντολὰς δέδωκα ὥστε μη-
»δένα τούτων τοῦ λοιποῦ προσφέρεσθαι τοῖς ἐπαρχιώταις ἀπηνῶς,
»ἀλλὰ μᾶλλον κολακείᾳ καὶ προτροπαῖς πρὸς τὴν τῶν θεῶν θρη-
»σκείαν αὐτοὺς ἀνακαλεῖν. τηνικαῦτα οὖν, ὅτε ἀκολούθως τῇ κε- 3
»λεύσει τῇ ἐμῇ ὑπὸ τῶν δικαστῶν ἐφυλάττετο τὰ προστεταγμένα,
»συνέβαινεν μηδένα ἐκ τῶν τῆς ἀνατολῆς μερῶν μήτε ἐξόριστον
»μήτε ἐνύβριστον γίνεσθαι, ἀλλὰ μᾶλλον ἐκ τοῦ μὴ βαρέως κατ᾽ αὐ-
»τῶν τι γίνεσθαι εἰς τὴν τῶν θεῶν θρησκείαν ἀνακεκλῆσθαι· μετὰ 4
»δὲ ταῦτα, ὅτε τῷ παρελθόντι ἐνιαυτῷ εὐτυχῶς ἐπέβην εἰς τὴν
»Νικομήδειαν κἀκεῖ διετέλουν, παρεγένοντο πολῖται τῆς αὐτῆς πόλεως
»πρός με ἅμα μετὰ τῶν ξοάνων τῶν θεῶν μειζόνως δεόμενοι ἵνα
»παντὶ τρόπῳ τὸ τοιοῦτον ἔθνος μηδαμῶς ἐπιτρέποιτο ἐν τῇ αὐτῶν
»πατρίδι οἰκεῖν. ἀλλ᾽ ὅτε ἔγνων πλείστους τῆς αὐτῆς θρησκείας 5

ATERBDMΣΛ

**20** *τῶν* R$^{c}$BDM *τῷ* ATER$^{1}$ | **22** *εἶτα* AT$^{1}$BDM *εἰσ τὸ* T$^{c}$ER *ὡσ τὸ* T$^{r}$
**4** *τυράννου* TERBDMΣ *τυράννου μαξιμίνου, νου*$^{2}$ auf Rasur A$^{1}$ | **6** *πε-ποίηκα* Σ | **22** *γίνεσθαι* BDM *γενέσθαι* ATER | **23** *τι* T$^{c}$T$^{r}$ERBDM > AT$^{1}$

834 ›ἄνδρας ἐν αὐτοῖς τοῖς μέρεσιν οἰκεῖν, οὕτως αὐτοῖς τὰς ἀποκρίσεις
›ἀπένεμον ὅτι τῇ μὲν αἰτήσει αὐτῶν ἀσμένως χάριν ἔσχηκα, ἀλλ' οὐ
›παρὰ πάντων τοῦτο αἰτηθὲν κατεῖδον· εἰ μὲν οὖν τινες εἶεν τῇ
836 ›αὐτῇ δεισιδαιμονίᾳ διαμένοντες, οὕτως ἕνα ἕκαστον ἐν τῇ ἰδίᾳ
›προαιρέσει τὴν βούλησιν ἔχειν καὶ εἰ βούλοιντο, τὴν τῶν θεῶν
›θρησκείαν ἐπιγινώσκειν. ὅμως καὶ τοῖς τῆς αὐτῆς πόλεως Νικο- 6
›μηδεῦσιν καὶ ταῖς λοιπαῖς πόλεσιν, αἳ καὶ αὐταὶ εἰς τοσοῦτον τὴν
›ὁμοίαν αἴτησιν περισπουδάστως πρός με πεποιήκασιν, δηλονότι ἵνα
›μηδεὶς τῶν Χριστιανῶν ταῖς πόλεσιν ἐνοικοίη, ἀνάγκην ἔσχον
›προσφιλῶς ἀποκρίνασθαι, ὅτι δὴ αὐτὸ τοῦτο καὶ οἱ ἀρχαῖοι αὐτο-
›κράτορες πάντες διεφύλαξαν καὶ αὐτοῖς τοῖς θεοῖς, δι' οὓς πάντες
›ἄνθρωποι καὶ αὐτὴ ἡ τῶν δημοσίων διοίκησις συνίσταται, ἤρεσεν
›οὖν ὥστε τὴν τοσαύτην αἴτησιν, ἣν ὑπὲρ τῆς θρησκείας τοῦ θείου
›αὐτῶν ἀναφέρουσιν, βεβαιώσαιμι. τοιγαροῦν εἰ καὶ τὰ μάλιστα καὶ 7
›τῇ σῇ καθοσιώσει πρὸ τούτου τοῦ χρόνου διὰ γραμμάτων ἐπέσταλ-
›ται καὶ δι' ἐντολῶν ὁμοίως κεκέλευσται ἵνα μὴ κατὰ τῶν ἐπαρχιω-
›τῶν τὸ τοιοῦτον ἔθος διαφυλάξαι ἐπιμεληθέντων μηδὲν τραχέως,
›ἀλλὰ ἀνεξικάκως καὶ συμμέτρως συμπεριφέροιντο αὐτοῖς, ὅμως ἵνα
›μήτε ὑπὸ τῶν βενεφικιαρίων μήτε ὑπ' ἄλλων τῶν τυχόντων ὕβρεις
›μήτε σεισμοὺς ὑπομένοιεν, ἀκόλουθον ἐνόμισα καὶ τούτοις τοῖς
›γράμμασιν τὴν σὴν στιβαρότητα ὑπομνῆσαι ὅπως ταῖς κολακείαις
›καὶ ταῖς προτροπαῖς μᾶλλον τὴν τῶν θεῶν ἐπιμέλειαν τοὺς ἡμε-
›τέρους ἐπαρχιώτας ποιήσειας ἐπιγινώσκειν· ὅθεν εἴ τις τῇ αὐτοῦ 8
›προαιρέσει τὴν θρησκείαν τῶν θεῶν ἐπιγνωστέον προσλάβοι, τού-
›τους ὑποδέχεσθαι προσήκει· εἰ δέ τινες τῇ ἰδίᾳ θρησκείᾳ ἀκολου-
›θεῖν βούλοιντο, ἐν τῇ αὐτῶν ἐξουσίᾳ καταλείποις. διόπερ ἡ σὴ 9
›καθοσίωσις τὸ ἐπιτραπέν σοι διαφυλάττειν ὀφείλει, καὶ μηδενὶ
›ἐξουσία δοθῇ ὥστε τοὺς ἡμετέρους ἐπαρχιώτας ὕβρεσι καὶ σεισμοῖς
›ἐπιτρῖψαι, ὁπότε, ὥσπερ προγέγραπται, ταῖς προτροπαῖς μᾶλλον
›καὶ ταῖς κολακείαις πρὸς τὴν τῶν θεῶν θρησκείαν τοὺς ἡμετέρους
›ἐπαρχιώτας προσήκει ἀνακαλεῖν. ἵνα δὲ αὕτη ἡμῶν ἡ κέλευσις εἰς
838 ›γνῶσιν πάντων τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων ἔλθῃ, διατάγματι
›ὑπὸ σοῦ προτεθέντι τὸ κεκελευσμένον ὀφείλεις δηλῶσαι‹.

ATERBDMΣΛ

**30** *ἀπένεμον* M *ἀπένειμον* ATERBD

**10** *οὖν* falscher Zusatz | **14** *ἔθοσ* T durch Rasur, ERMΣ *ἔθνοσ* AT$^1$BD | nach *τραχέως* fehlt etwas | **16** *βενεφικιαρίων* BDMΣ *βενεφικιαλίων* AT$^1$T$^r$R *βενεφφικιαλίων* T$^c$E | **21** *ἐπιγνωστέον* AT$^1$BDM *ἐπιγνωστέαν* T$^c$ER | **22** *ὑποδέχεσθαι* BDM *ὑποδέξασθαι* ATER | **23** *καταλείποισ* T$^c$E, B corr., DM *καταλίποισ* AT$^1$RB$^1$

838 ταῦθ᾽ ὑπὸ τῆς ἀνάγκης ἐκβεβιασμένος, ἀλλ᾽ οὐ κατὰ γνώμην 10
τὴν αὐτοῦ διακελευσάμενος, οὐκέτ᾽ ἀληθὴς οὐδ᾽ ἀξιόπιστος παρὰ
τοῖς πᾶσιν ἦν τῆς πρόσθεν ἤδη μετὰ τὴν ὁμοίαν συγχώρησιν πα-
λιμβόλου καὶ διεψευσμένης αὐτοῦ γνώμης ἕνεκα. οὔκουν ἐτόλμα 11
τις τῶν ἡμετέρων σύνοδον συγκροτεῖν οὐδ᾽ ἑαυτὸν ἐν φανερῷ κατα-
στήσασθαι, ὅτι μηδὲ τοῦτ᾽ ἤθελεν αὐτῷ τὸ γράμμα, αὐτὸ μόνον τὸ
ἀνεπηρέαστον ἡμῖν ἐπιτρέπον φυλάττεσθαι, οὐ μὴν συνόδους ἐπι-
κελεῦον ποιεῖσθαι οὐδ᾽ οἴκους ἐκκλησιῶν οἰκοδομεῖν οὐδ᾽ ἄλλο τι
τῶν ἡμῖν συνήθων διαπράττεσθαι. καίτοι γε ταῦθ᾽ οἱ τῆς εἰρήνης 12
καὶ εὐσεβείας προήγοροι αὐτῷ τε ἐπιτρέπειν ἐπεστάλκεσαν καὶ τοῖς
ὑπ᾽ αὐτοὺς ἅπασιν διὰ προγραμμάτων καὶ νόμων συγκεχωρήκεσαν·
οὐ μὴν ὁ δυσσεβέστατός γε ταύτῃ ἐνδοῦναι προῄρητο, εἰ μὴ ὅτε
πρὸς τῆς θείας συνελαθεὶς δίκης ὕστατόν γε ἄκων ἐπὶ τοῦτ᾽
ἤχθη. ἐκπεριῆλθεν δ᾽ αὐτὸν τοιαύτη τις αἰτία. τὸ μέγεθος τῆς 10 1
οὐ κατ᾽ ἀξίαν ἐπιτραπείσης ἡγεμονίας αὐτῷ μὴ οἷός τε φέρειν, ἀλλὰ
δι᾽ ἀπειρίαν σώφρονος καὶ βασιλικοῦ λογισμοῦ ἀπειροκάλως τοῖς
πράγμασιν ἐγχειρῶν ἐπὶ πᾶσίν τε ὑπερηφανίας μεγαλαυχίᾳ τὴν ψυ-
χὴν ἀλόγως ἀρθείς, ἤδη καὶ κατὰ τῶν τῆς βασιλείας κοινωνῶν, τὰ
πάντα αὐτοῦ προφερόντων γένει καὶ τροφῇ καὶ παιδείᾳ ἀξιώματί
τε καὶ συνέσει καὶ τῷ γε πάντων κορυφαιοτάτῳ, σωφροσύνῃ καὶ
τῇ περὶ τὸν ἀληθῆ θεὸν εὐσεβείᾳ, τολμᾶν ὥρμητο θρασύνεσθαι καὶ
πρῶτον ἑαυτὸν ταῖς τιμαῖς ἀναγορεύειν. ἐπιτείνας δ᾽ εἰς ἀπό- 2
νοιαν τὰ τῆς μανίας, συνθήκας ἃς πρὸς Λικίννιον πεποίητο, παρα-
σπονδήσας, πόλεμον ἄσπονδον αἱρεῖται· εἶτ᾽ ἐν βραχεῖ τὰ πάντα
κυκήσας πᾶσάν τε πόλιν ἐκταράξας καὶ πᾶν στρατόπεδον, μυριάδων
840 τὸ πλῆθος ἀνηρίθμων, συναγαγών, ἔξεισιν εἰς μάχην αὐτῷ παραταξά-
μενος, δαιμόνων ἐλπίσιν, ὧν δὴ ᾤετο θεῶν, καὶ ταῖς τῶν ὁπλιτῶν
μυριάσιν τὴν ψυχὴν ἐπηρμένος, καὶ δὴ συμβαλὼν εἰς χεῖρας, ἔρημος τῆς 3
ἐκ θεοῦ καθίσταται ἐπισκοπῆς, τῆς νίκης ἐξ αὐτοῦ τοῦ πάντων ἑνὸς

12 nach *προήγοροι* [BDMΣΛ] fügen ATER aus der früheren Ausgabe hinzu *Κωνσταντῖνος καὶ Λικίννιος*

840, 4 vor *τῆς νίκης* [BDMΣΛ] ist aus der früheren Ausgabe *Λικιννίῳ* [ARc *λικιννίου* T¹E *λικιννίῳ δὲ* Tr] eingeschaltet

840, 1—4 vgl. Vit. Const. 35, 8—10

ATERBDMΣΛ

11 *ἡμῖν συνήθων* BDM *συνήθων ἡμῖν* ATER | 14 *γε* BDM > ATER | 15 *γε* ABDM > TER | 17 *μὴ* BDMΣ *μήθ᾽* TER *μὴκέθ᾽* A | 19 *πᾶσιν* RMΣ *πάσῃ* ATEBD | 21 *προφερόντων* BD *προσφερόντων* M *διαφερόντων* ATER | 22 *τε* ATER *γε* BD > M

840 καὶ μόνου θεοῦ τῷ τότε κρατοῦντι πρυτανευθείσης. ἀπόλλυσι 4
δὴ πρῶτον τὸ ἐφ᾽ ᾧ πεποίθει ὁπλιτικόν, τῶν τε ἀμφ᾽ αὐτὸν
δορυφόρων γυμνὸν καὶ πάντων ἔρημον αὐτὸν καταλελοιπότων τῷ
τε κρατοῦντι προσπεφευγότων, ὑπεκδὺς ὁ δείλαιος ὡς τάχιστα
τὸν οὐ πρέποντα αὐτῷ βασιλικὸν κόσμον, δειλῶς καὶ δυσγενῶς καὶ
ἀνάνδρως ὑποδύνει τὸ πλῆθος κἄπειτα διαδιδράσκει κρυπταζόμενός
τε ἀνὰ τοὺς ἀγροὺς καὶ τὰς κώμας μόλις τῶν πολεμίων τὰς χεῖρας,
τὰ τῆς σωτηρίας αὐτῷ προμνώμενος, διέξεισιν, ἔργοις αὐτοῖς εὖ
μάλα πιστοὺς καὶ ἀληθεῖς τοὺς θείους ἀποφήνας χρησμούς, ἐν οἷς
εἴρηται »οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας 5
οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς ἵππος εἰς
σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.
ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς
ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς
ψυχὰς αὐτῶν«. οὕτω δῆτα αἰσχύνης ἔμπλεως ὁ τύραννος ἐπὶ 6
τὰ καθ᾽ ἑαυτὸν ἐλθὼν μέρη, πρῶτα μὲν ἐμμανεῖ θυμῷ πολλοὺς
ἱερεῖς καὶ προφήτας τῶν πάλαι θαυμαζομένων αὐτῷ θεῶν, ὧν δὴ
τοῖς χρησμοῖς ἀναρριπισθεὶς τὸν πόλεμον ἤρατο, ὡς ἂν γόητας καὶ
ἀπατεῶνας καὶ ἐπὶ πᾶσιν προδότας τῆς αὐτοῦ γενομένους σωτηρίας
842 ἀναιρεῖ· εἶτα δὲ δοὺς δόξαν τῷ Χριστιανῶν θεῷ νόμον τε τὸν ὑπὲρ
ἐλευθερίας αὐτῶν τελεώτατα καὶ πληρέστατα διαταξάμενος, δυσθανα-
τήσας αὐτίκα μηδεμιᾶς αὐτῷ χρόνου δοθείσης προθεσμίας τελευτᾷ
τὸν βίον. ὁ δὲ καταπεμφθεὶς ὑπ᾽ αὐτοῦ νόμος τοιοῦτος ἦν

## *ΑΝΤΙΓΡΑΦΟΝ ΕΡΜΗΝΕΙΑΣ ΤΗΣ ΤΟΥ ΤΥΡΑΝΝΟΥ ΥΠΕΡ ΧΡΙΣΤΙΑΝΩΝ ΔΙΑΤΑΞΕΩΣ ΕΚ ΡΩΜΑΙΚΗΣ ΓΛΩΤΤΗΣ ΕΙΣ ΤΗΝ ΕΛΛΑΔΑ ΜΕΤΑΛΗΦΘΕΙΣΗΣ*

»Αὐτοκράτωρ Καῖσαρ Γάϊος Οὐαλέριος Μαξιμῖνος, Γερμανικός, 7
»Σαρματικός, εὐσεβὴς εὐτυχὴς ἀνίκητος Σεβαστός. κατὰ πάντα τρό-

**840, 5** *τῷ — κρατοῦντι* [*ΠΣ*] Correctur der letzten Ausgabe für *Λικιννίῳ*

**8—12** vgl. Vit. Const. 35, 11—14 — **14—19** Psalm 32, 16—19

ATERBDMΣΛ

**7/8** τῷ τε κρατοῦντι M καὶ τῷ κρατοῦντι BD *und . . zu dem der die Macht inne hatte* Σ *fortioribus* Λ τῷ τότε κρατοῦντι TER καὶ τῷ τότε κρατοῦντι A | **10** ὑποδύνει $AT^{1}T^{r}BD\Sigma$ vgl. Vit. Const. 35, 12 ἀποθέμενος ὑποδύνει $T^{c}ERM$ | **12** προμνώμενος TERBDM προνοούμενος A | **20** πρῶτα BDM πρῶτον ATER | **22** ἀναρριπισθεὶς ATERMΣ ἀναπεισθεὶς BD *confisus* Λ

**1** δὲ BDM δὴ ATER | δοὺς $AT^{1}RBD\Sigma\Lambda$ τοῦτο $T^{c}EM$ | χριστιανῶν TERDM τῶν χριστιανῶν AB | **5—7** ἀντίγραφον — μεταληφθείσης > Σ | **6/7** εἰς τὴν ἑλλάδα ABD > TERM

842 ›πον ἡμᾶς διηνεκῶς τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων τοῦ χρησίμου
›προνοεῖσθαι καὶ ταῦτα αὐτοῖς βούλεσθαι παρέχειν, οἷς τὰ λυσιτελῆ
›πάντων μάλιστα κατορθοῦται καὶ ὅσα τῆς λυσιτελείας καὶ τῆς
›χρησιμότητός ἐστιν τῆς κοινῆς αὐτῶν καὶ ὁποῖα πρὸς τὴν δημοσίαν
›λυσιτέλειαν ἁρμόζει καὶ ταῖς ἑκάστων διανοίαις προσφιλῆ τυγχάνει,
›οὐδένα ἀγνοεῖν, ἀλλ' ἕκαστον ἀνατρέχειν ἐπ' αὐτὸ τὸ γινόμενον
›γινώσκειν τε ἕκαστον τῶν ἀνθρώπων καὶ ἔχειν ἐν ἑαυτῷ δῆλον
›εἶναι πιστεύομεν. ὁπότε τοίνυν πρὸ τούτου δῆλον γέγονεν τῇ 8
›γνώσει τῇ ἡμετέρᾳ ἐκ ταύτης τῆς προφάσεως ἐξ ἧς κεκελευσμένον
›ἦν ὑπὸ τῶν θειοτάτων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, τῶν γονέων
›τῶν ἡμετέρων, τὰς συνόδους τῶν Χριστιανῶν ἐξηρῆσθαι, πολλοὺς
›σεισμοὺς καὶ ἀποστερήσεις ὑπὸ τῶν ὀφφικιαλίων γεγενῆσθαι, καὶ εἰς
›τοὐπιὸν δὲ τοῦτο προχωρεῖν κατὰ τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων,
›ὧν μάλιστα πρόνοιαν τὴν προσήκουσαν γίνεσθαι σπουδάζομεν, τῶν
›οὐσιῶν τῶν ἰδίων αὐτῶν κατατριβομένων, δοθέντων γραμμάτων
›πρὸς τοὺς ἡγεμόνας ἑκάστης ἐπαρχίας τῷ παρελθόντι ἐνιαυτῷ
›ἐνομοθετήσαμεν ἵν' εἴ τις βούλοιτο τῷ τοιούτῳ ἔθει ἢ τῇ αὐτῇ
›φυλακῇ τῆς θρησκείας ἕπεσθαι, τοῦτον ἀνεμποδίστως ἔχεσθαι τῆς
›προθέσεως τῆς ἑαυτοῦ καὶ ὑπὸ μηδενὸς ἐμποδίζεσθαι μηδὲ κω-
844 ›λύεσθαι καὶ εἶναι αὐτοῖς εὐχέρειαν δίχα τινὸς φόβου καὶ ὑποψίας
›τοῦθ' ὅπερ ἑκάστῳ ἀρέσκει, ποιεῖν. πλὴν οὐδὲ νῦν λαθεῖν ἡμᾶς 9
›ἐδυνήθη ὅτι τινὲς τῶν δικαστῶν παρενεθυμοῦντο τὰς ἡμετέρας
›κελεύσεις καὶ διστάζειν τοὺς ἡμετέρους ἀνθρώπους περὶ τὰ προστάγ-
›ματα τὰ ἡμέτερα παρεσκεύασαν καὶ ὀκνηρότερον προσιέναι ταύταις
›ταῖς θρησκείαις αἷς ἦν ἀρεστὸν αὐτοῖς, ἐποίησαν. ἵνα τοίνυν εἰς τὸ 10
›ἑξῆς πᾶσα ὑποψία ἢ ἀμφιβολία τοῦ φόβου περιαιρεθῇ, τοῦτο τὸ διά-
›ταγμα προτεθῆναι ἐνομοθετήσαμεν, ἵνα πᾶσιν δῆλον γένηται ἐξεῖναι
›τούτοις οἵτινες ταύτην τὴν αἵρεσιν καὶ τὴν θρησκείαν μετιέναι
›βούλονται, ἐκ ταύτης τῆς δωρεᾶς τῆς ἡμετέρας, καθὼς ἕκαστος

ATERBDMΣΔ

**15** *οὐδένα* AT$^{r}$RBD *οὐδὲν* T$^{1}$EM | man verlangt *ὃς ἂν ἀνατρέχηι* | *αὐτὸ* T$^{r}$RBDMΣ *αὐτῷ* AE, T$^{1}$T$^{c}$ unleserlich | **16** *ἕκαστον τῶν ἀνθρώπων* Doublette | *ἐν* ATER > BDM | **16/17** *δῆλον εἶναι* falscher Pleonasmus | **26** *εἴ* BDM *ἐάν* ATER | *ἔθει* ATERMΣ *ἔθνει* BDΔ | *αὐτῆι*] *τοιαύτη* BΣ | **27** *τῆσ*$^{1}$ BDMΣ *τῆσ αὐτῆσ* ATER

**1** *δίχα* BD *διά* M *ἄνευ* ATER | **3** *παρενεθυμοῦντο* ABD *παρ' ἓν ἐτί-θεντο* EM *παρ' οὐδὲν ἐτίθεντο* T$^{r}$ auf Rasur, R | **6** *ἀρεστὸν* ATERΣ *ἄριστον* BDM | **7** *ἢ ἀμφιβολία* ERMΣΔ *ἀμφιβολίασ* AT$^{1}$BD *καὶ ἀμφιβολία* T$^{r}$, T$^{c}$ unleserlich | **8** *προστεθῆναι* Σ

844 »βούλεται ἢ ἡδέα αὐτῷ ἐστιν, οὕτως προσιέναι τῇ θρησκείᾳ ταύτῃ
»ἣν ἐξ ἔθους θρησκεύειν εἵλετο. καὶ τὰ κυριακὰ δὲ τὰ οἰκεῖα ὅπως
»κατασκευάζοιεν, συγκεχώρηται. ἵνα μέντοι καὶ μείζων γένηται ἡ 11
»ἡμετέρα δωρεά, καὶ τοῦτο νομοθετῆσαι κατηξιώσαμεν ἵνα εἴ τινες
»οἰκίαι καὶ χωρία ⟨ἃ⟩ τοῦ δικαίου τοῦ τῶν Χριστιανῶν πρὸ τούτου
»ἐτύγχανον ὄντα, ἐκ τῆς κελεύσεως τῶν γονέων τῶν ἡμετέρων εἰς
»τὸ δίκαιον μετέπεσεν τοῦ φίσκου ἢ ὑπό τινος κατελήφθη πόλεως,
»εἴτε διάπρασις τούτων γεγένηται εἴτε εἰς χάρισμα δέδοταί τινι,
»ταῦτα πάντα εἰς τὸ ἀρχαῖον δίκαιον τῶν Χριστιανῶν ἀνακληθῆναι
»ἐκελεύσαμεν, ἵνα καὶ ἐν τούτῳ τῆς ἡμετέρας εὐσεβείας καὶ τῆς προ-
»νοίας αἴσθησιν πάντες λάβωσιν«.

αὗται τοῦ τυράννου φωναί, οὐδ' ὅλον ἐνιαυτὸν τῶν κατὰ 12
Χριστιανῶν ἐν στήλαις ἀνατεθειμένων αὐτῷ διαταγμάτων ὑστερή-
σασαι, καὶ παρ' ᾧ γε μικρῷ πρόσθεν δυσσεβεῖς ἐδοκοῦμεν καὶ ἄθεοι
846 καὶ παντὸς ὄλεθροι τοῦ βίου, ὡς μὴ ὅτι γε πόλιν, ἀλλ' οὐδὲ χώραν
οὐδ' ἐρημίαν οἰκεῖν ἐπιτρέπεσθαι, παρὰ τούτῳ διατάξεις ὑπὲρ
Χριστιανῶν καὶ νομοθεσίαι συνετάττοντο, καὶ οἱ πρὸ βραχέος πυρὶ
καὶ σιδήρῳ θηρίων τε καὶ οἰωνῶν βορᾷ πρὸ ὀφθαλμῶν αὐτοῦ
διαφθειρόμενοι καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας ἀπαλλαγῆς τε
βίου οἰκτρότατα ὡς ἂν ἄθεοι καὶ δυσσεβεῖς ὑπομένοντες, οὗτοι νῦν
πρὸς τοῦ αὐτοῦ καὶ θρησκεύειν ὁμολογοῦνται θρησκείαν καὶ ἐπι-
σκευάζειν κυριακὰ ἐπιτρέπονται, καὶ δικαίων τινῶν αὐτοῖς μετεῖναι
αὐτὸς ὁ τύραννος ὁμολογεῖ. καὶ δὴ τοιαῦτα ἐξομολογησάμενος, 13
ὥσπερ τινὸς τυχὼν εὐεργεσίας τούτων δὴ αὐτῶν ἕνεκα, ἧττον ἢ
παθεῖν αὐτὸν χρῆν δήπου παθών, ἀθρόᾳ θεοῦ πληγεὶς μάστιγι ἐν
δευτέρᾳ τοῦ πολέμου συμβολῇ καταστρέφει· γίνεται δ' αὐτῷ τὰ τῆς 14
καταστροφῆς οὐχ οἷα στρατηγοῖς πολεμάρχαις ὑπὲρ ἀρετῆς καὶ

ATERBDMΣΔ

**11** *ἢ ἡδέα* BD *εἰ ἡδέα* M *ἢ ἡδὺ* $T^{r}$R *ἡ ἡδὺ* $T^{c}$ [?] E *ἢ ἡδέα* oder *ἢ ἡδὺ* von Σ bezeugt *ηηδε* $T^{1}$ [?] *et prout animo libet* Δ *ἢ δέον* A | **13** *συγκεχώρηται* $T^{r}$ERBDM, $T^{c}$ getilgt *συγχωρῆται* $AT^{1}$ | **15** *χωρία ἃ* Schwegler *χωρία* Π | *τοῦ τῶν* $T^{r}$ERM *τούτων* BD *τῶν* $AT^{1}$ | **16/17** *εἰς ἄλλο δίκαιον* [*τοῦ φίσκου* >] Σ | **20** *ἐκελεύσαμεν* falscher Zusatz; *ἵνα* [14] — *ἀνακληθῆναι* ist in Übersetzungen möglich

**1** *ὄλεθροι* AR *ὀλέθρου* M *Ursache alles Verderbens* [plur.] Σ *ὀλέθριοι* TEBD | **4** *ὀφθαλμῶν* ATER *ὀφθαλμῶν τῶν* BDM | *αὐτοῦ* BDMΣ *αὐτοῦ τοῦ τυράννου* ATER | **7** *τοῦ αὐτοῦ* BDMΣ *αὐτοῦ* ATER | **9** *ὁμολογεῖ* BDMΣ *μαρτυρεῖ καὶ ὁμολογεῖ* ATER

846 γνωρίμων πολλάκις ἀνδριζομένοις ἐν πολέμῳ τὴν εὐκλεῆ τελευτὴν
εὐθαρσῶς ὑπομεῖναι συνέβη, ἀλλὰ γὰρ ἅτε τις δυσσεβὴς καὶ θεο-
μάχος, τῆς παρατάξεως ἔτ᾽ αὐτῷ πρὸ τοῦ πεδίου συνεστώσης οἴκοι
μένων αὐτὸς καὶ κρυπταζόμενος, τὴν προσήκουσαν τιμωρίαν ὑπέχει,
ἀθρόᾳ θεοῦ πληγεὶς καθ᾽ ὅλου τοῦ σώματος μάστιγι, ὡς ἀλγηδόσιν
δειναῖς καὶ περιωδυνίαις ἐλαυνόμενον πρηνῆ καταπεσεῖν, λιμῷ φθει-
ρόμενον τάς τε σάρκας ὅλας ἀοράτῳ καὶ θεηλάτῳ πυρὶ τηκόμενον,
ὡς διαρρεύσαντα τὸ μὲν πᾶν εἶδος τῆς παλαιᾶς μορφῆς ἀφανισθῆναι,
ξηρῶν δ᾽ αὐτὸ μόνον ὀστέων οἷόν τι μακρῷ χρόνῳ κατεσκελετευ-
μένον εἴδωλον ὑπολειφθῆναι, ὡς μηδ᾽ ἄλλο τι νομίζειν τοὺς παρόν-
848 τας ἢ τάφον αὐτῷ τῆς ψυχῆς γεγονέναι τὸ σῶμα, ἐν ἤδη νεκρῷ
καὶ παντελῶς ἀπορρεύσαντι κατορωρυγμένης. σφοδρότερον δ᾽ 15
ἔτι μᾶλλον τῆς θέρμης αὐτὸν ἐκ βάθους μυελῶν καταφλεγούσης,
προπηδῶσιν μὲν αὐτῷ τὰ ὄμματα καὶ τῆς ἰδίας λήξεως ἀποπεσόντα
πηρὸν αὐτὸν ἀφίησιν, ὁ δ᾽ ἐπὶ τούτοις ἔτ᾽ ἐμπνέων ἀνθομολογού-
μενος τῷ κυρίῳ θάνατον ἐπεκαλεῖτο, καὶ τὸ πανύστατον ἐνδίκως
ταῦτα τῆς κατὰ τοῦ Χριστοῦ παροινίας χάριν ὁμολογήσας παθεῖν,
τὴν ψυχὴν ἀφίησιν.

Οὕτω δῆτα Μαξιμίνου ἐκποδὼν γενομένου, ὃς μόνος ἔτι λείπων ΙΑ 11 1
τῶν τῆς θεοσεβείας ἐχθρῶν, ἁπάντων χείριστος ἀναπέφηνεν, τὰ μὲν
τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως ἐκ θεμελίων χάριτι θεοῦ τοῦ παν-
τοκράτορος ἠγείρετο ὅ τε τοῦ Χριστοῦ λόγος, εἰς δόξαν τοῦ τῶν
ὅλων θεοῦ διαλάμπων, μείζονα τῆς πρόσθεν ἀπελάμβανεν παρρησίαν,
τὰ δὲ τῆς δυσσεβείας τῶν τῆς θεοσεβείας ἐχθρῶν αἰσχύνης ἐσχάτης
καὶ ἀτιμίας ἐνεπίμπλατο. πρῶτός τε γὰρ Μαξιμῖνος αὐτὸς κοινὸς 2
ἁπάντων πολέμιος ὑπὸ τῶν κρατούντων ἀναγορευθείς, δυσσεβέστατος
καὶ δυσωνυμώτατος καὶ θεομισέστατος τύραννος διὰ προγραμμάτων

**18**—S. 848, 6 vgl. Vit. Const. 35, 16—24

ATERBDMΣΔ

**19** *πρηνῆ* $AT^rRBD^r$ *πρινῆ* $T^1EM$ *πρὶν ἢ* $T^c$ *πρηνὶ* $D^1$ | **21** *διαρρεύσαντα* TERBDM *διαρρευσάσασ* A | **22** *αὐτὸ μόνον ὀστέων* M *ὀστέων αὐτὸ μόνον* D *ὀστέων αὐτῶ μόνον* B *αὐτὸ μόνον ὀστέων γεγονέναι* $T^1E$ *αὐτὸ μόνον ὀστέον γεγονέναι καὶ* A *αὐτὸ ἐκ μόνων ὀστέων γεγονὸσ* $T^rR$

**1** *ἤδη* $AT^1E$ *εἴδει* $T^rRM$ *γρ ἐν εἴδει* $T^{cm}E^{1m}$ *ὠ̄ δὴ* BD *wie* Σ | **5** *ἔτ᾽ ἐμπνέων* $AT^rRM$ *γρ ἔτ᾽ ἐμπνέων* $T^{cm}E^{1m}$ *ἐπεμπνέων* $T^1BD$ *ἀποπνέων* E | **9** *ἔτι λείπων* ABDM *ἐπιλείπων* $T^cER$ *ἐπιλιπὼν* $T^1$ | **12** *τοῦ χυ̅* BDM *χυ̅* ATER | **15** *ἐνεπίμπλατο* ARBD *ἀνεπίμπλατο* TEM | **15/16** *μαξιμῖνοσ αὐτὸσ κοινὸσ ἁπάντων πολέμιοσ* BDM *αὐτὸσ ἐκεῖνοσ μαξιμῖνοσ ἁπάντων πολεμιώτατοσ* $AT^1T^r$ *αὐτὸσ ἐκεῖνοσ μαξιμῖνοσ κοινὸσ ἁπάντων πολεμιώτατοσ* $T^{cm}ER$

848 δημοσίων ἀνεστηλίτευτο, γραφαί τε ὅσαι εἰς τιμὴν αὐτοῦ τε καὶ τῶν
αὐτοῦ παίδων κατὰ πᾶσαν ἀνέκειντο πόλιν, αἳ μὲν ἐξ ὕψους εἰς
ἔδαφος ῥιπτούμεναι συνετρίβοντο, αἳ δὲ τὰς προσόψεις ἠχρειοῦντο
σκοτεινῷ χρώματι καταμελανούμεναι, ἀνδριάντων τε ὁμοίως ὁπόσοι
εἰς αὐτοῦ τιμὴν διανεστήκεσαν, ὡσαύτως ῥιπτούμενοι συνετρίβοντο,
γέλως καὶ παιδιὰ τοῖς ἐνυβρίζειν καὶ ἐμπαροινεῖν ἐθέλουσιν ἐκκεί-
μενοι. εἶτα δὲ καὶ τῶν ἄλλων τῆς θεοσεβείας ἐχθρῶν πᾶσαι 3
τιμαὶ περιῃροῦντο, ἐκτείνοντο δὲ καὶ πάντες οἱ τὰ Μαξιμίνου φρο-
νοῦντες, ὅσοι μάλιστα τῶν ἐν ἀρχικοῖς ἀξιώμασιν ὑπ' αὐτοῦ τετι-
850 μημένοι τῇ πρὸς αὐτὸν κολακείᾳ σοβαρῶς ἐνεπαροίνησαν τῷ καθ'
ἡμᾶς λόγῳ· οἷος ἦν ὁ παρὰ πάντας αὐτῷ τιμιώτατος καὶ αἰδεσι- 4
μώτατος ἑταίρων τε γνησιώτατος Πευκέτιος, δὶς ὕπατος καὶ τρὶς
ὕπατος καὶ τῶν καθόλου λόγων ἔπαρχος πρὸς αὐτοῦ καθεσταμένος,
Κουλκιανός τε ὡσαύτως διὰ πάσης ἀρχικῆς προελθὼν ἐξουσίας, ὁ
καὶ αὐτὸς μυρίοις τοῖς κατ' Αἴγυπτον Χριστιανῶν ἐλλαμπρυνάμενος
αἵμασιν, ἄλλοι τε ἐπὶ τούτοις οὐκ ὀλίγοι, δι' ὧν μάλιστα τὰ τῆς
Μαξιμίνου τυραννίδος ἐκραταιοῦτό τε καὶ ηὔξετο. ἐκάλει δὲ ἄρα 5
καὶ Θεότεκνον ἡ δίκη, οὐδαμῶς τὰ κατὰ Χριστιανῶν αὐτῷ πεπραγ-
μένα λήθῃ παραδιδοῦσα. ἐπὶ μὲν γὰρ τῷ κατ' Ἀντιόχειαν ἱδρυ-
θέντι πρὸς αὐτοῦ ξοάνῳ δόξας εὐημερεῖν, ἤδη καὶ ἡγεμονίας ἠξίωτο
παρὰ Μαξιμίνου, Λικίννιος δ' ἐπιβὰς τῆς Ἀντιοχέων πόλεως φώραν 6
τε γοήτων ποιησάμενος, τοὺς τοῦ νεοπαγοῦς ξοάνου προφήτας καὶ
ἱερεῖς βασάνοις ᾐκίζετο, τίνι λόγῳ τὴν ἀπάτην καθυποκρίνοιντο,
πυνθανόμενος· ὡς δ' ἐπικρύπτεσθαι αὐτοῖς πρὸς τῶν βασάνων
συνελαυνομένοις ἀδύνατον ἦν, ἐδήλουν δὲ τὸ πᾶν μυστήριον ἀπάτην
τυγχάνειν τέχνῃ τῇ Θεοτέκνου μεμηχανημένην, τοῖς πᾶσιν τὴν ἀξίαν
ἐπιθεὶς δίκην, πρῶτον αὐτὸν Θεότεκνον, εἶτα δὲ καὶ τοὺς τῆς γοη-
τείας κοινωνοὺς μετὰ πλείστας ὅσας αἰκίας θανάτῳ παραδίδω-
σιν. τούτοις ἅπασιν προσετίθεντο καὶ οἱ Μαξιμίνου παῖδες, οὓς 7
ἤδη καὶ τῆς βασιλικῆς τιμῆς τῆς τε ἐν πίναξιν καὶ γραφαῖς ἀνα-
θέσεως πεποίητο κοινωνούς· καὶ οἱ συγγένειαν δὲ τοῦ τυράννου τὸ
πρὶν αὐχοῦντες καὶ πάντας ἀνθρώπους καταδυναστεύειν ἐπηρμένοι
τὰ αὐτὰ τοῖς προδεδηλωμένοις μετὰ τῆς ἐσχάτης ἀτιμίας ἔπασχον,
ἐπεὶ μὴ ἐδέξαντο παιδείαν μηδὲ ἔγνωσαν μηδὲ συνῆκαν τὴν φάσκου-

ATERBDMΣΛ

24 πᾶσαι BDM πᾶσαι αἱ ATER > Σ | 26 οἳ BD

3 ἑτέρων ΜΣ | πευκέτιοσ Π *Peucedius* ΛΣ | 5 κουλκιανόσ ΠΣ *Quintianus* Λ | 7 τὰ $AT^cT^rERM$ > $T^1BD$ | 8 ηὔξετο τὸ γαυρίαμα BD | 14 καθυποκρίνοιντο BDM καθυποκρίνοντο $T^1$ καθυπεκρίνοντο $AT^cER$ | 22 οἱ συγγένειαν $T^cT^r$ EMΣ ἡ συγγένεια BD οἱ συγγενεῖσ $AT^1R$

850 *σαν ἐν ἱεροῖς λόγοις παρακέλευσιν μὴ πεποίθετε ἐπ᾽ ἄρχοντας,* 8
*ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστιν σωτηρία· ἐξελεύσεται*
*τὸ πνεῦμα αὐτοῦ καὶ ἀποστρέψει εἰς τὴν γῆν αὐτοῦ· ἐν*
852 *ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐ-*
*τῶν. ⟨θεῷ δὴ χάρις ἐπὶ πᾶσιν τῷ παντοκράτορι καὶ βασιλεῖ τῶν*
*ὅλων, πλείστη δὲ καὶ τῷ σωτῆρι καὶ λυτρωτῇ τῶν ψυχῶν ἡμῶν*
*Ἰησοῦ Χριστῷ, δι᾽ οὗ τὰ τῆς εἰρήνης ἔκ τε τῶν ἔξωθεν ὀχληρῶν*
*καὶ τῶν κατὰ διάνοιαν βέβαια καὶ ἀσάλευτα φυλάττεσθαι ἡμῖν διὰ*
*παντὸς εὐχόμεθα.⟩*

**2—6** an Stelle von *θεῶι — εὐχόμεθα* [Σ hier und, wie ATERM, am Anfang des 10. Buches, BD nur am Ende des 9. Buches] setzen hier aus der früheren Ausgabe ATERM ein: *οὕτω δῆτα τῶν δυσσεβῶν ἐκκαθαρθέντων, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ Λικιννίῳ· οἳ τῶν πρόσθεν ἁπάντων ἐκκαθάραντες τοῦ βίου τὴν θεοεχθρίαν, τῶν ἐκ θεοῦ πρυτανευθέντων ἀγαθῶν αὐτοῖς ᾐσθημένως τὸ φιλάρετον καὶ θεοφιλὲς τό τε πρὸς τὸ θεῖον εὐσεβὲς καὶ εὐχάριστον διὰ τῆς ὑπὲρ Χριστιανῶν ἐνεδείξαντο νομοθεσίας.*

**26** — S. 852, 2 Psalm. 145, 3. 4

ATERBDMΣΔ

**4** nach *Χριστῶι* + *τῶι μονογενεῖ τοῦ θεοῦ καὶ τῶι λόγωι αὐτοῦ* Σ [= 856, 3, vgl. 862, 22. 23]

**11** *τῶν*[1] T[c] auf Rasur, ERM [= 10, 9, 9] *τὸ* A | **12** *ᾐσθημένωσ* TERM [= 10, 9, 9] *ᾐσθημένοι* A